# ᾈσματικὴ Ἀκολουθία
# καὶ Ἱερὰ Παράκλησις
# τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν




# Ὁμολογητοῦ Ἱεράρχου
# Χρυσοστόμου τοῦ Νέου

**(1870-1955)**

**Οὗ ἡ σεβάσμιος Μνήμη**
**τῇ 7ῃ Σεπτεμβρίου**


Ἔκδοσις β΄
Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν
Ἑλλάδος
Ἀθῆναι 2017

# Ἀσματικὴ Ἀκολουθία
# καὶ Ἱερὰ Παράκλησις
# τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν
# Χρυσοστόμου
## τοῦ Ὁμολογητοῦ Ἱεράρχου
## καὶ Πρωθιεράρχου
## τῆς Ἐκκλησίας
## τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν
## ἐν Ἑλλάδι

**(1870-1955)**




**Ἡ** πρώτη ἱερὰ Εἰκόνα τοῦ Ὁμολογητοῦ Ἱεράρχου.
Ἔργον τοῦ «Ἐργαστηρίου Ἐκκλησιοποιημένης Εἰκονογραφίας».
Μάρτιος 2016, Φυλὴ Ἀττικῆς.
Διαστάσεις πρωτοτύπου: 50 x 70 ἑκ.

# Ἀσματικὴ Ἀκολουθία
# καὶ Ἱερὰ Παράκλησις
# τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν
# Χρυσοστόμου
## τοῦ Ὁμολογητοῦ Ἱεράρχου
## καὶ Πρωθιεράρχου
## τῆς Ἐκκλησίας
## τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν
## ἐν Ἑλλάδι

(1870-1955)

Οὗ ἡ σεβάσμιος Μνήμη
τῇ 7ῃ Σεπτεμβρίου

Ποίημα, Χάριτι Θείᾳ,
ἐλαχίστου Διακόνου
† Ὠ. κ' Φ. Κ.

Ἔκδοσις β'
Ἱερᾶς Συνόδου
τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος

Ἐν Ἀθήναις, Μηνὶ Σεπτεμβρίῳ 2017ῳ



**Ὁ** Ἱερὸς Ναὸς τοῦ Ἁγίου Νικολάου (ΙΒ′ αἰ.)
στὴν Ἱερὰ Μονὴ Κοιμήσεως τῆς Θεοτόκου,
Θρακομακεδόνες Πάρνηθος Ἀττικῆς,
πρὸ τοῦ ὁποίου εὑρίσκεται ὁ Τάφος
τοῦ Ὁμολογητοῦ Ἱεράρχου.

# Ἀφιέρωσις

## Ταπεινῶς, εὐγνωμόνως
## καὶ πανευλαβῶς ἀνατίθεμεν



Εἰς τὴν
Ἀνέσπερον Μνήμην
τῶν Ἡρωϊκῶν Προμάχων
τῆς Πατρῴας Εὐσεβείας
καὶ τῶν Γενναίων Ὁμολογητῶν
τῆς Γνησίας Ὀρθοδοξίας,

τῶν θείῳ ζήλῳ, τῇ δυνάμει τοῦ Τιμίου Σταυροῦ,
σθεναρῶς ἀποκρουσαμένων
τὴν Παναίρεσιν τοῦ Οἰκουμενισμοῦ
καὶ τὴν Ἡμερολογιακὴν Καινοτομίαν
ἀπὸ τοῦ 1924 καὶ ἑξῆς.

Ἡ Ἱερὰ Σύνοδος
τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν
ἐν Ἑλλάδι

† 7η Ἀπριλίου 2016 ἐκ. ἡμ., Τετάρτη πρὸ τῶν Βαΐων



**Ὁ** Ὁμολογητὴς Ἱεράρχης
εἰς τὴν οἰκίαν του, Κυψέλη Ἀθηνῶν,
μετὰ τὴν ἐπιστροφήν του
ἐκ τῆς ἐξορίας.
(1952)



# Περιεχόμενα


σελ. ζʹ Ἀφιέρωσις.

σελ. ιαʹ Συνοδικὴ Πρᾶξις Ἁγιοκατατάξεως.

σελ. ιγʹ Προοιμιάζοντες.

σελ. 1-22 Ἱερὰ Ἀκολουθία.

- Μικρὸς Ἑσπερινός.
- Μέγας Ἑσπερινός.
- Ὄρθρος.
- Θεία Λειτουργία.
- Μεγαλυνάριον.
- Δίστιχα.

σελ. 23 Ἀκολουθία Ἱερᾶς Παρακλήσεως.

σελ. 39 Ἐπίμετρον.

- Εὐαγγέλιον Ὄρθρου.
- Ἀπόστολος Λειτουργίας.
- Εὐαγγέλιον Λειτουργίας.

σελ. 42 Εὐχαριστίες.



**Ὁ** Μακαριώτατος Ἀρχιεπίσκοπος
τῆς Ἐκκλησίας τῶν Γνησίων
Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος
κ. Καλλίνικος.
(2010 κ.ἑ.)



ΕΚΚΛΗΣΙΑ
ΓΝΗΣΙΩΝ ΟΡΘΟΔΟΞΩΝ ΧΡΙΣΤΙΑΝΩΝ
ΕΛΛΑΔΟΣ
ΙΕΡΑ ΣΥΝΟΔΟΣ

# ΣΥΝΟΔΙΚΗ ΠΡΑΞΙΣ ΑΓΙΟΚΑΤΑΤΑΞΕΩΣ

## Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Χρυσοστόμου Μητροπολίτου πρώην Φλωρίνης

Λέγει ὁ Μέγας Ἀπόστολος Παῦλος περὶ τοῦ Δικαίου Μωϋσέως, ὅτι προετίμησε μᾶλλον «συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ» (Ἑβρ. ια᾽ 25-26).

Τοῦτον τὸν Θεόπτην Προφήτην μιμησάμενος, ὁ Ἀοίδιμος Μητροπολίτης πρώην Φλωρίνης Χρυσόστομος, προετίμησεν ὑποστῆναι μυρίας κακουχίας καὶ διώξεις, ὁμοῦ μετὰ τοῦ λαοῦ τοῦ Θεοῦ τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν τῆς Ἑλλάδος, παρὰ ἀπολαμβάνειν ἄνεσιν, τιμὰς καὶ πλούτη, συσχηματιζόμενος μετὰ τῶν καινοτομησάντων Ἀρχιερέων.

Ἐκ Μαδύτου τῆς ἑλληνικωτάτης Ἀνατολικῆς Θράκης καταγόμενος ὁ κατὰ κόσμον Χρυσόστομος Καβουρίδης, ἐγεννήθη τὴν ιγ᾽ τοῦ μηνὸς Νοεμβρίου τοῦ χιλιοστοῦ ὀκτακοσιοστοῦ ἑβδομηκοστοῦ ἔτους, ἡμέραν μνήμης τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, οὗ καὶ τὸ ὄνομα ἔλαβεν, ἐκ νεότητος δὲ αὐτοῦ ἀγαπήσας τὸν Θεὸν καὶ προσφέρειν θελήσας ἑαυτὸν εἰς τὴν διακονίαν τῆς Ἐκκλησίας, ἐσπούδασε τὴν Ἱερὰν Ἐπιστήμην τῆς Θεολογίας καὶ ἐχειροτονήθη Διάκονος τοῦ Πατριαρχείου Κωνσταντινουπόλεως, προβιβασθεὶς δὲ εἰς τὸν τοῦ Πρεσβυτέρου καὶ Ἐπισκόπου βαθμόν, διετέλεσε Μητροπολίτης Ἴμβρου, ὕστερον Πελαγονίας καὶ εἶτα Φλωρίνης, διαπρέψας ὡς κῆρυξ τῆς εὐσεβείας καὶ διδάσκαλος τῆς ἀρετῆς ἔργῳ καὶ λόγῳ.

Κατ᾽ ἐπίγνωσιν δὲ ζηλωτὴς τῆς Πατρῴας Πίστεως ὑπάρχων ὁ Ἀοίδιμος, ἀντετάχθη εἰς τὰς ἐπιβουλὰς κατὰ τῆς Ὀρθοδόξου Πίστεως καὶ συμμετεῖχεν εἰς τὴν συγκρότησιν τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν τῆς Ἑλλάδος, τῆς Ὁποίας ἀργότερον Προήδρευσεν εὐκλεῶς, ἀναδειχθεὶς δὲ Ποιμὴν ἄριστος τοῦ λογικοῦ Ποιμνίου τοῦ Χριστοῦ ἐν τοῖς χαλεποῖς χρόνοις τῆς ἐκ τῆς ὀρθῆς Πίστεως ἀποστασίας καὶ ὑπερμαχήσας ἔργῳ καὶ λόγῳ τῆς Πατροπαραδότου Πίστεως ἄχρι γήρατος, ἕως οὗ ἐτελεύτησε τῇ ζ᾽ Σεπτεμβρίου τοῦ χιλιοστοῦ ἐνακοσιοστοῦ καὶ πεντηκοστοῦ πέμπτου σωτηρίου ἔτους.

Θεμελιωθείσης δ᾿ οὕτω περὶ αὐτοῦ αὐθορμήτως ὑπὸ συγχρόνων καὶ μεταγενεστέρων τῆς ἀναγνωρίσεως αὐτοῦ ὡς Ὁμολογητοῦ καὶ Θαυματουργοῦ, καὶ λαβόντες ὑπ᾿ ὄψιν καὶ ὅσα δι᾿ ἀναφορᾶς αὐτοῦ καὶ εἰσηγήσεως ἐξέθεσε καὶ Συνοδικῶς ἐβεβαιώσατο ὁ Σεβασμιώτατος Μητροπολίτης Ὠρωποῦ καὶ Φυλῆς κύριος Κυπριανός, περὶ κατατάξεως τοῦ εἰρημένου Ἱεράρχου ἐν τῇ τῶν Ἁγίων καὶ Ὁμολογητῶν Ἱεραρχῶν χορείᾳ διατυπούμενος, ἡ ἐλαχιστότης ἡμῶν ἁπάντων τῶν Ἐπισκόπων τῶν συγκροτούντων τὴν Ἁγίαν καὶ Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν τῆς Ἑλλάδος, ἀπιδόντες πρὸς τὴν θεάρεστον αὐτοῦ βιοτὴν καὶ πολιτείαν, τοὺς ὑπὲρ τῆς Ὀρθοδόξου Πίστεως καὶ εὐσεβείας ἀτρύτους αὐτοῦ ἀγῶνας καὶ καμάτους, καὶ περὶ τῆς πνευματικῆς ὠφελείας τῶν πιστῶν πρόνοιαν ποιούμενοι, καὶ διαφημισθείσης τῆς φήμης πρὸς ἡμᾶς, ὅτι τὰ τίμια αὐτοῦ Λείψανα, πλήρη εὐωδίας πνευματικῆς, ἐν τῇ Ἱερᾷ Μονῇ Κοιμήσεως τῆς Θεοτόκου Πάρνηθος Ἀττικῆς, ἔνθα ὁ μακάριος ἐτάφη, ἐντὸς ἀργυρᾶς θήκης φυλάσσονται καὶ εἰς προσκύνησιν ὑπὸ τῶν πιστῶν πρὸς ἁγιασμὸν αὐτῶν ἤδη τίθενται, καὶ ὅτι θαυμάτων παρεκτικὰ ταῦτα ὁ Κύριος ἀνέδειξεν, ἔγνωμεν συνῳδὰ τοῖς πρὸ ἡμῶν Θείοις Πατράσι τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει κατακολουθοῦντες, τὴν προσήκουσαν τοῖς ἁγίοις ἀνδράσι καὶ τούτῳ ἀπονεῖμαι τιμήν.

Διὸ καὶ ἀποφαινόμεθα Συνοδικῶς, θεσπίζομεν καὶ διορίζομεν καὶ ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι, ὅπως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα, ὁ προῤῥηθεὶς ἀοίδιμος Μητροπολίτης πρώην Φλωρίνης Χρυσόστομος, συναριθμῆται τῷ χορῷ τῶν Ἁγίων καὶ Ὁμολογητῶν Ἱεραρχῶν τῆς Ἐκκλησίας, ἐτησίαις ἱεροτελεστίαις καὶ ἁγιστείας τιμώμενος παρὰ τοῦ εὐσεβοῦς πληρώματος τῶν πιστῶν καὶ ὕμνοις ᾀσμάτων καὶ ἐγκωμίοις γεραιρόμενος τῇ ζʹ Σεπτεμβρίου, ἐν ᾗ τὸν βίον αὐτοῦ ἐτελεύτησεν, εἰς τιμὴν μὲν αὐτοῦ, δόξαν δὲ τοῦ ἐν Ἁγίοις θαυμαστοῦ Θεοῦ ἡμῶν, τοῦ τοὺς Ἁγίους δοξάζοντος καὶ ἐνδοξαζομένου ἐν ταῖς ἁγίαις αὐτῶν μνήμαις καὶ ἱεραῖς πανηγύρεσιν.

Εἰς ἔνδειξιν δὲ τούτου καὶ βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα Συνοδικὴ ἡμῶν Πρᾶξις, καταστρωθεῖσα καὶ ὑπογραφεῖσα ἐν τῷ ἱερῷ Κώδικι τῆς καθ᾿ ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν τῆς Ἑλλάδος, τῇ ηʹ τοῦ μηνὸς Ἰανουαρίου τοῦ ἔτους δισχιλιοστοῦ καὶ δεκάτου ἕκτου.

Ἐβεβαιώθη ἐν Πάρνηθι,
ἐν ἔτει σωτηρίῳ δισχιλιοστῷ καὶ δεκάτῳ ἕκτῳ,
κατὰ μῆνα Μάϊον, τῇ δεκάτῃ πέμπτῃ.

ΕΚΚΛΗΣΙΑ Γ.Ο.Χ. ΕΛΛΑΔΟΣ † ΙΕΡΑ ΣΥΝΟΔΟΣ †

Ἀκριβὲς φωτοαντίγραφον
Ὁ Ἀρχιγραμματεὺς

† Δημητριάδος Φώτιος

† ὁ Δημητριάδος Φώτιος



# Προοιμιάζοντες

**Δόξα** τῷ Θεῷ πάντων ἕνεκα! Τριὰς Ἁγία, δόξα Σοι!...

**Μ**ὲ βαθειὰ ἐπίγνωσι τῆς ἀδυναμίας μας καὶ εἰλικρινῆ ὁμολογία τῆς πολυειδοῦς ἀνεπάρκειάς μας, φιλολογικῆς-ὑμνογραφικῆς-ποιητικῆς, διευκρινίζουμε ταπεινὰ τὰ ἑξῆς.

* * *

**Κατεβλήθη** ἐπὶ τούτῳ προσπάθεια, ὥστε τὰ ἱερὰ κείμενα τῆς Ἀσματικῆς Ἀκολουθίας καὶ τῆς Ἱερᾶς Παρακλήσεως

- νὰ διατηρήσουν μέν πως τὴν ἀρχαιοπρέπεια τοῦ ὕφους, προκειμένου νὰ μὴν διακοπῆ ἡ συνέχεια τῆς Ὑμνογραφικῆς Παραδόσεώς μας, ἀλλὰ ταυτοχρόνως
- νὰ εἶναι ἁπλούστερά πως καὶ περισσότερο προσεγγίσιμα στὸν σύγχρονό μας ἀναγνώστη-ἀκροατή, ὁ ὁποῖος δὲν εἶναι ἐξοικειωμένος μὲ τὴν διαχρονικὴ γλωσσική μας Παράδοσι.

**Ἐπὶ** τῇ βάσει τῆς *Ἀρχῆς αὐτῆς*,

- λέξεις καὶ φράσεις καὶ συντακτικὰ σχήματα *βαρύτατα* ἕως καὶ *ἀκατανόητα* ἔχουν ἐπιμελῶς ἀποφευχθῆ.

* * *

**Μία** διευκρίνισις.

**Ἐ**σχάτως παρατηρεῖται ἡ αὐξανομένη τάσις νὰ ἐφαρμόζεται στοὺς Ἐκκλησιαστικοὺς Ὕμνους τὸ σύστημα τῆς *διπλῆς στίξεως*, βάσει τῆς δεοντολογίας τῶν ἐπιστημονικῶν ἐκδόσεων, δηλαδὴ οἱ στίχοι χωρίζονται μὲ *ἀστερίσκους*, διατηρουμένων παραλλήλως τῶν σημείων στίξεως, ὅπου τὸ νόημα ἀπαιτεῖ τοῦτο.

**Ἂ**ν καὶ αὐτὴ ἡ *διπλῆ στίξις* εἶναι βεβαίως ὀρθὴ κατὰ τὰ ἄλλα, στὴν παροῦσα ἐργασία προετιμήσαμε κατὰ κανόνα τὴν *ἁπλῆ στίξι*, δηλαδὴ ἀποφεύγεται ἡ συνήθης στίξις βάσει τοῦ νοήματος, ἡ δὲ ἀλλαγὴ στίχου ἐμφαίνεται μόνο μὲ τὰ συνήθη σημεῖα στίξεως, ἀναλόγως τῆς περιπτώσεως: κόμμα, ἄνω τελεία, κάτω τελεία, θαυμαστικό, ἐρωτηματικό.

**Π**ροεκρίθη ἡ πρακτικὴ αὐτὴ γιὰ δύο λόγους:

- ἡ πληθὺς τῶν *ἀστερίσκων*, διατηρουμένης καὶ τῆς πληθύος τῶν σημείων στίξεως, ἐπιβαρύνει πολὺ τὰ κείμενα ἐξ ἐπόψεως ὀπτικῆς.
- ἡ *Ἀρχή*, τὴν ὁποία ἐξεθέσαμε προηγουμένως, μᾶς ὡδήγησε στὴν συντακτικὴ ἁπλούστευσι τῶν κειμένων, ὥστε νὰ μὴν ἀπαιτοῦνται κατὰ κανόνα ὅλα τὰ σημεῖα στίξεως, ἐφ᾽ ὅσον ἡ ἀλλαγὴ τῶν στίχων ἔχει ἐπιδιωχθῆ ἐπιμελῶς ἢ νὰ κλείνῃ νοήματα ἢ νὰ μὴν περιπλέκῃ συντακτικὰ καὶ νοηματικὰ τὸν Ὕμνο.

**Ἄ**λλωστε, ἡ πρακτικὴ αὐτή, δηλαδὴ τῆς ἀποφυγῆς κατὰ κανόνα πάντων τῶν σημείων στίξεως, διατηρουμένων μόνον στὴν ἀλλαγὴ στίχου, εἶναι κατὰ πάντα σύμφωνος μὲ τὴν ἔντυπη Ὑμνογραφικὴ Παράδοσί μας.

4η Μαΐου 2017 ἐκ. ἡμ.<br>
† Ἁγίας Παρθενομάρτυρος<br>
Πελαγίας

Ὁ πονήσας καὶ ποιήσας,<br>
Ἐλάχιστος Διάκονος<br>
† ὁ Ὠ. κ᾽ Φ. Κ.



Στὴν δευτέρα ἐξορία.
Λέσβος, Μονὴ Ὑψηλοῦ.
(1951-1952)



# Ἀσματικὴ Ἀκολουθία
## τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Χρυσοστόμου, τοῦ Ὁμολογητοῦ Ἱεράρχου καὶ Πρωθιεράρχου τῆς Ἐκκλησίας τῶν Γνησίων Ὀρθοδόξων Χριστιανῶν ἐν Ἑλλάδι

**(† 7.9.1955 ἐκ. ἡμ.)**

**Ψαλλομένη τῇ 7η Σεπτεμβρίου**

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

**Μ**ετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια γ΄, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος α΄. Τῶν οὐρανίων.

**Α**ἱ τῶν Γνησίων χορεῖαι, δεῦτε συνέλθωμεν, καὶ Ἱεράρχου Μνήμην, Χρυσοστόμου τοῦ Νέου, θείοις ἐγκωμίοις, καὶ ἐν ᾠδαῖς, εὐγνωμόνως τιμήσωμεν, ὅτι ἐδείχθη ἐσχάτως Φωστὴρ λαμπρός, Ὀρθοδόξου Παραδόσεως.

**Ὁ**μολογίας Κανόνα, Σὲ Πάτερ ἔδειξε, πληθύς Σου συγγραμμάτων, καὶ δειναὶ ἐξορίαι· Δύσεως γὰρ τὸν ζόφον, λύσας σοφῶς, θεοφόρε Χρυσόστομε, Καλανδαρίου τοῦ Νέου πλάνης δεινῆς, καθαιρέτης ὤφθης Ἅγιε.

**Τ**ὸν ἐκ Μαδύτου τῆς Θράκης, θεῖον Χρυσόστομον, τῆς δὲ Πελαγονίας, καὶ τῆς Ἴμβρου Ποιμένα, δῆμος τῶν Γνησίων, πανευλαβῶς, εὐφημήσωμεν, κράζοντες· χαῖρε Δογμάτων Πατρῴων Φύλαξ στεῤῥός, Ἐκκλησίας δὲ προτείχισμα.

Δόξα. Καὶ νῦν. Ἦχος πλ. δ΄.

**Τ**ὴν Γέννησίν Σου Ἁγνή, τῶν Ὀρθοδόξων τὰ συστήματα, εὐλαβῶς προσκυνοῦμεν· τοῦ δὲ Ἱεράρχου τὴν μνήμην συντιμῶμεν, ὡς τῆς Ὀρθοδόξου Πίστεως Προμάχου, λέγοντες· Σύ, ὦ Μῆτερ Θεοῦ, τὴν Ἐκκλησίαν εἰρήνευε.

* * *

**Εἰς τὸν Στίχον.**

Ἱστῶμεν Στίχους γ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

**Π**άντες οἱ Εὐσεβεῖς, Γνησίων Ὀρθοδόξων, τὸν γνήσιον Ποιμένα, Χρυσόστομον τὸν θεῖον, ἐν ὕμνοις μεγαλύνωμεν.

Στίχ α΄. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Ἄ**νθεσι τῶν ᾠδῶν, κυκλώσωμεν προθύμως, Εἰκόνα Χρυσοστόμου, καὶ Θήκην τῶν Λειψάνων, ἐν δάκρυσι προσπίπτοντες.

Στίχ β΄. Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.

**Π**ίστεως Μαχητά, καὶ Πρόμαχε γενναῖε, Χρυσόστομε παμμάκαρ, μὴ παύσῃ μεσιτεύων, ὑπὲρ Γνησίας Ποίμνης Σου.

Δόξα. Καὶ νῦν. Ὅμοιον.

**Ἅ**παντες οἱ Πιστοί, ὑμνήσωμεν προφρόνως, τὴν τοῦ Ποιμένος Μνήμην, καὶ Γέννησιν Παρθένου, ἐν εὐγνωμόνῳ πνεύματι.

* * *

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

**Μ**ετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ Στάσιν τοῦ Καθίσματος Α΄ τοῦ Ψαλτηρίου, ἤτοι τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια Προεόρτια τῆς Θεοτόκου τρία καὶ τοῦ Ἱεράρχου τρία.

**Τῆς Θεοτόκου.**

Ἦχος α΄. Τῶν οὐρανίων.

**Τ**ῆς παγκοσμίου τῷ κόσμῳ, χαρᾶς ἀνέτειλαν, αἱ νοηταὶ ἀκτῖνες, προμηνύουσαι πᾶσι, τὸν ἥλιον τῆς δόξης, Χριστὸν τὸν Θεόν, ἐν τῇ Γεννήσει Σου Ἄχραντε· Σὺ γὰρ μεσῖτις ἐδείχθης τῆς ἀληθοῦς, εὐφροσύνης τε καὶ χάριτος.

**Ἡ** προεόρτιος αὕτη, δόξα Σου Ἄχραντε, προκαταγγέλλει πᾶσι, τὰς τῆς Σῆς εὐμενείας, λαοῖς εὐεργεσίας· Σὺ γὰρ τῆς νῦν, εὐφροσύνης ἡ πρόξενος, καὶ τῆς μελλούσης αἰτία χαρᾶς ἡμῖν, καὶ τρυφῆς θείας ἀπόλαυσις.

**Ἡ** θεοχώρητος Κόρη, καὶ Θεοτόκος ἁγνή, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαυῒδ ἡ θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακείμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδάμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνατρέπει ἐν τῷ τόκῳ Αὐτῆς.

**Τοῦ Ἱεράρχου.**

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

**Φ**ωτοφόρος ἡ Μνήμη Σου, Ἱεράρχα Χρυσόστομε, τοὺς Πιστοὺς συνήγαγεν, εἰς Πανήγυριν· ὅτι ἐσχάτοις ἐν ἔτεσι, γενναίως ἐτήρησας, Ἐκκλησίας Διδαχήν, καὶ Πατέρων Θεσπίσματα, καὶ ἐστήριξας, Ὀρθοδόξους στεῤῥᾷ Ὁμολογίᾳ, διωχθεὶς δὲ πολυτρόπως, νῦν ἀπολαύεις τῶν κόπων Σου.

**Κ**αινοτόμους κατέπληξας, Ἱεράρχα Χρυσόστομε, καὶ Πιστῶν κατηύφρανας τὴν Ὁμήγυριν, Ὁμολογίας Κηρύγματι, λαμπροῖς δὲ συγγράμμασιν, Ἐκκλησίαν τοῦ Χριστοῦ, διεφύλαξας Ἄμωμον, καὶ διέλυσας, τὴν ἀχλὺν διδαγμάτων ἀλλοτρίων, καὶ στεφάνων ἠξιώθης, τῶν ἀμαράντων Θεόσοφε.

**Ἐ**κκλησίαν ὡράϊσας, Ἱεράρχα Χρυσόστομε, τοῖς φαιδροῖς ἀγῶσί Σου, καὶ ἀνέτρεψας, τῶν Καινοτόμων τὸ ὅρμημα, καὶ Ποίμνην ἐφύλαξας, Ὀρθοδόξων ἀβλαβῆ, καὶ τὴν Πίστιν ἀκήρατον· νῦν δὲ ἅπαντας, τοὺς ζηλοῦντας ἐν πόθῳ θεαρέστῳ, καθοδήγει εἰς τὴν τρίβον, Ὁμολογίας θεόφρονος.

Δόξα. Ἦχος δ΄.

**Τοῦ Ἱεράρχου.**

**Τ**ὸν Κήρυκα τῆς Πίστεως, Ἱεράρχην σοφόν τε καὶ κλεινόν, Ὀρθοδόξων τὰ πλήθη τῶν εὐσεβῶν, συνδραμόντα ἐν πόθῳ χαρμονικῶς ἀνυμνήσωμεν· Οὗτος γὰρ διέῤῥηξε, τῶν Καινοτόμων τὸ δόγμα δυνάμει Χριστοῦ. Χρυσόστομε παναοίδιμε, πρόφθασον ταῖς Σαῖς λιταῖς, στηρίζων τὰ τέκνα Σου, ἐν τῇ Πίστει τῶν Πατέρων καὶ τῶν Ἀποστόλων, καὶ εἰρήνην δωρούμενος πᾶσι τὴν ἄνωθεν.

Καὶ νῦν. Ὁ αὐτός.

**Προεόρτιον.**

**Τ**ὴν πάνσεπτόν Σου Γέννησιν, Παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας, τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς Σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

* * *

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας.

**Τὰ Ἀναγνώσματα.**

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. γ΄ 1-9.

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.

Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν,

Καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ.

Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης·

Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους Ἑαυτοῦ·

Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς.

Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται·

Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας.

Οἱ πεποιθότες ἐπ᾽ Αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. ε΄ 15-23, ϛ΄ 1-3.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.

Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν.

Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.

Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον·

Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας.

Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται·

Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι.

Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως.

Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς.

Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς·

Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν·

Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου, Ὃς ἐξετάσει ὑμῖν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. δ΄ 7-15.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται·

Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται·

Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος.

Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη·

Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ·

Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.

Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς·

Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας.

Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον,

Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις Αὐτοῦ.

* * *

## Εἰς τὴν Λιτήν.

Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α΄.

Τὸν Ἱεράρχην Πιστοί, δεῦτε καὶ τιμήσωμεν, ἐν ὕμνοις εὐσεβῶς· σήμερον χαρὰν οἱ χοροὶ ἐνδυσάσθωσαν, καὶ δόγματα τῆς Ἐκκλησίας ὑψούσθωσαν· χαίρουσα ὑμνείτω πληθύς, τὸν νέον Χρυσόστομον, στεῤῥῶς ἀθλήσαντα· διὸ θείῳ καὶ ἡμεῖς ζήλῳ ζηλοῦντες ὑψώσωμεν Αὐτόν· Πάτερ θεολόγε σοφέ, μὴ ἐλλίπης στηρίζων, οὓς Θεῷ προσέφερες, Ὁμολογίᾳ Σου, διδοὺς ἡμῖν ἔλεος.

Ἦχος β΄.

Σύμπασα ἡ πληθύς, ἐν χαρμονῇ τιμᾷ τὸν Ἱεράρχην, ᾄσματα ποικίλα ἐξᾄδουσα, ἀθλοφόρον ὑμνοῦσα· Καινοτόμων ἐπιβουλαὶ ἐλαύνονται, καὶ ἐν γῇ καὶ οὐρανῷ χαρὰ γίνεται· ἡ Μάδυτος χαίρει προσφέρουσα, Ποιμενάρχην τὸν θεῖον Χρυσόστομον· Γνησίας δὲ Ἐκκλησίας τὰ τέκνα, δόξῃ καὶ τιμῇ εὐσεβῶς, ἐν ᾠδαῖς θεοπρεπέσι, τὴν Τριάδα ὑμνοῦσιν.

Ἦχος πλ β΄.

Δῶμεν Ἱεράρχῃ κλεινῷ, τῶν εὐσεβῶν αἱ χορεῖαι, στέφανον χάριτος μελωδικῶς, προσκυνοῦντες τῶν Λειψάνων Αὐτοῦ τὴν Θήκην· ᾄσωμεν δὲ ᾄσματα πάντες τῷ Θεῷ, πατερικῶς θεολογοῦντες· Μίαν Ἐκκλησίαν Θεοῦ, Ὀρθοδόξων καὶ Μόνην, καὶ ἐν Μόνῃ σωτηρία.

Δόξα. Ἦχος πλ. δ΄.

**Τοῦ Ἱεράρχου.**

Εὐφραίνεται ὁ χορός, ὁ τῶν Πατέρων σήμερον· Φῶς γὰρ τῆς Πίστεως, διὰ Σοῦ αὐγάζει ἅπαντας, πλάνης ὢ Χρυσόστομε ὀλοθρευτά, στήριγμα δογμάτων τε τῶν Πατρικῶν· Μίαν Ἐκκλησίαν, διεκήρυξας Μόνην, τὴν Ὀρθόδοξον· τῆς Δύσεως αἱρέσεις, ὡς ἐκτὸς Ἀληθείας ἐδογμάτισας, Πίστιν Ὀρθὴν τοῦ Συμβόλου διακρατήσας.

Καὶ νῦν. Ὁ αὐτός.

**Προεόρτιον.**

Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν σαλπίσωμεν, πνευματικῇ κιθάρᾳ· ἡ γὰρ ἐκ σπέρματος Δαυΐδ, σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς τὸ σκότος λύουσα· τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις, τῆς ἀφθαρσίας ἡ πηγή, καὶ τῆς φθορᾶς ἀπαλλαγή, δι᾽ ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν· καὶ βοήσωμεν Αὐτῇ σὺν τῷ Γαβριὴλ οἱ πιστοί· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ, διὰ Σοῦ, χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

* * *

## Εἰς τὸν Στίχον.

Ἱστῶμεν Στίχους γ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἱεράρχου.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

**Π**ῶς Σε νῦν τιμήσωμεν Ἅγιε; υἱϊκῶς, Σὺ γὰρ Πατὴρ ἐν Γνησιότητι Πιστῶν· φωτεινῶς, ὅτι τὸ σκότος Σὺ διέλυσας πλανῶν· ἐν μύροις, τοῖς ἀγῶσιν εὐωδίασας· ἐν ὕμνοις, χαρμοσύνης ἡμᾶς ἔπλησας· πολλά Σου γὰρ τὰ Ἐγκώμια, τῆς νήσου Ἴμβρου τὸ καύχημα, Χρυσόστομε, Ἐκκλησίας τὸ ἑδραίωμα.

Στίχ α΄. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

**Τ**ί Σε νῦν καλέσω χρυσώνυμε; Εὐκλεῆ, ὅτι δικαίως Σὲ ἐδόξασε Χριστός· Ὁδηγόν, ὅτι ἐμφρόνως καθωδήγησας Πιστούς· Ποιμένα, τὴν φωνήν Σου ἐγνωρίσαμεν· Πατέρα, τὴν γὰρ Ποίμνην Σου ἐτείχισας· πολλαὶ αἱ κλήσεις Σου Ἅγιε, οἱ στέφανοι ἀναρίθμητοι, Χρυσόστομε, Ὀρθοδόξων τὸ κραταίωμα.

Στίχ β΄. Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσονται.

**Π**οίοις Σε στολίσωμεν ἄνθεσι; Νικητής, ἀναδειχθεὶς Καινοτόμων σθεναρός· Συγγραφεύς, κατατροπώσας κραταιῶς συγκρητιστάς· Πατέρων, τὰ Θεσπίσματα ἐτήρησας· τὸ Νέον, Καλανδάριον ἀνήρεσας· ζηλῶν ἐζήλωσας δώματα, καὶ ἄνθη τὰ αἰωνίζοντα, Χρυσόστομε, τῶν Γνησίων ἐγκαλλώπισμα.

Δόξα. Ἦχος δ΄.

### Τοῦ Ἱεράρχου.

**Τ**ὸν Ποιμένα τὸν Καλόν, Ὁμολογίας ἀστέρα φαεινόν, τὸν ἀποσταλέντα ἐσχάτως, τῆς Τριάδος εὐδοκίᾳ· καὶ καταβαλόντα ὀχυρώματα, Σταυροῦ φωτὶ πλάνης τὰ σκότια, τρανῶς δὲ ἀνακηρύξαντα, τῶν Πατέρων Θεσπίσματα. Αὐτὸν τῶν Ὀρθοδόξων ἡ πληθὺς νῦν τιμᾷ, θαυμάσιον Χρυσόστομον ᾄδουσα, θείαις ᾠδαῖς Χριστὸν δὲ μεγαλύνουσα.

Καὶ νῦν. Ὁ αὐτός.

### Προεόρτιον.

**Ἡ** παγκόσμιος χαρά, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος· ἥτις δι᾽ ὑπερβολὴν καθαρότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

* * *

**Ἀπολυτίκια.**

Ψάλλομεν τοῦ Ἱεράρχου καὶ τῆς Θεοτόκου.

**Τοῦ Ἱεράρχου.**

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

**Γ**ενναίῳ φρονήματι, καὶ θεολόγῳ φωνῇ, κατέβαλες φρύαγμα τῶν Καινοτόμων Σοφέ, καὶ ἤθλησας ἄριστα· κλέος Ἀρχιερέων, ὦ Χρυσόστομε ὤφθης, Πίστιν τῶν Ὀρθοδόξων, στερεώσας ἐσχάτως, ἀμέμπτῳ Ὁμολογία, βίῳ θεόφρονι.

Δόξα. Καὶ νῦν.

**Προεόρτιον.**

Ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.

**Ἐ**κ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν· διὸ καὶ χαίρει ἡ σύμπασα καὶ καινουργεῖται· συγχαίρει τε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ. Αἰνέσατε Αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

* * *

# Εἰς τὸν Ὄρθρον

**Καθίσματα.**

Ψάλλομεν τοῦ Ἱεράρχου καὶ τῆς Θεοτόκου.

**Μετὰ τὴν Στιχολογίαν α΄.**

Τοῦ Ἱεράρχου.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

**Τ**οῦ νέου Χρυσοστόμου χοροὶ τῶν Ὀρθοδόξων, ἐν χαρμονικαῖς μελῳδίαις, τιμήσωμεν τὴν Μνήμην, ἐνθέως σαλπίζοντες Πιστοί, κυκλοῦντες δὲ τὰ Λείψανα Αὐτοῦ· Καινοτόμους τὸν αἰσχύναντα κραταιῶς, Θεσπίσμασι τῶν Πατέρων· Μίαν τὴν Ἐκκλησίαν εὐσεβῶς, Μόνην διακηρύξαντα, ῥήσεις δὲ πεπλανημένας γνησίως ὀλέσαντα.

Δόξα. Καὶ νῦν.

Προεόρτιον. Ὅμοιον.

**Τ**εχθεῖσα παραδόξως, στειρωτικῶν ἐξ ὠδίνων, παρθενικῶν ἐκ λαγόνων, ἐκύησας ὑπὲρ φύσιν· ὡραῖος φανεῖσα γὰρ βλαστός, ἐξήνθησας τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν, βοῶσί Σοι Θεοτόκε· Δόξα τῇ νῦν προόδῳ Σου σεμνή· δόξα τῇ παρθενίᾳ Σου· δόξα τῇ κυοφορίᾳ Σου, μόνη Πανάχραντε.

**Μετὰ τὴν Στιχολογίαν β΄.**

Τοῦ Ἱεράρχου.

Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.

**Ἱ**εράρχην τὸν θεῖον ἐγκωμιάσωμεν, Ὁμολογίας τὸν στῦλον καὶ θεολόγον κλεινόν, τὸν ἐν ἤθεσι λαμπροῖς διαβιώσαντα·

τῶν Καινοτόμων τὴν ἀχλύν, ὀρθοδόξῳ τῇ φωνῇ, ἐλάσαντα θεοφρόνως· Χρυσόστομον τὸν ἐκ Μαδύτου, Πελαγονίας τὸν Φωστῆρα λαμπρόν.

Δόξα. Καὶ νῦν.

Προεόρτιον. Ὅμοιον.

**Τ**ὰ οὐράνια πάντα νῦν ἐπαγάλλονται, τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει αὐτοῖς, καὶ οἱ Προφῆται μυστικῶς συνευφραίνονται· Ἣν γὰρ προεῖδον τυπικῶς, ἐν ταῖς ἀρχαίαις γενεαῖς, βάτον καὶ στάμνον καὶ ῥάβδον, νεφέλην πύλην καὶ θρόνον, καὶ μέγα ὄρος, γεννᾶται σήμερον.

**Μετὰ τὸν Πολυέλεον.**

Τοῦ Ἱεράρχου.

Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.

**Τ**ὸν θεαυγῆ ζηλωτὴν ὀρθῶν δογμάτων, Ὀρθοδοξίας τὸν Φωστῆρα καὶ Ποιμένα, τὸν Χρυσόστομον πάντες ἀνευφημοῦμεν· τὸ τεῖχος τῆς Ἐκκλησίας τὸ ἀῤῥαγές, τὸν πύργον Ὀρθοδοξίας τὸν ἀκλινῆ, Οὗ οἱ λόγοι διέῤῥηξαν, ῥημάτων σκότους ἱστόν· βοήσωμεν οὖν ἅπαντες, χαῖρε Ἴμβρου καλλώπισμα.

Δόξα. Καὶ νῦν.

Προεόρτιον. Ὅμοιον.

**Ἀ**νανεώθητι Ἀδάμ, ἀγάλλου Εὔα· ἀνακαινίσθητι Δαβίδ, εὐφραίνου Ἄννα· ἡ γὰρ Μήτηρ τοῦ Κτίστου Σου, τίκτεται παραδόξως· χορεύει καινιζομένη πᾶσα ἡ γῆ, καὶ χαίρει στολιζομένη νέαν στολήν· πᾶσα γλῶσσα χορεύουσα, βοάτω νῦν τῇ Μαριάμ, μακάριος ὁ οἶκος Δαβίδ· ὅτι τρέφει τὴν τροφὸν τῆς Ζωῆς.

* * *

## Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου.

Οἱ Ἀναβαθμοί.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. Ἦχος δ΄.

**Ο**ἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται. (δὶς)

Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας.

**Ο**ἱ ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον. Βλέπε Ἰανουαρίου Λ΄, τὸ τοῦ Ὄρθρου, Ἰωάν. ι΄ 9-16.

Βλέπε Ἐπίμετρον, σελ. 39.

Ὁ Ψαλμὸς Ν΄.

Δόξα.

**Τ**αῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν.

**Τ**αῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Τοῦ Ἱεράρχου.

Ἦχος πλ. β΄.

**Ἱ**εράρχην γλυκύφθογγον θείοις ὕμνοις, ἅπαντες τιμῶμεν, Χρυσόστομον λαμπρόν, καὶ χρυσοῤῥόα Ποιμένα, καὶ στῦλον τῆς Ἀληθοῦς Πίστεως, τὴν πλάνην διαλύσαντα, τῆς Τριάδος Χάριτι.

* * *

## Οἱ Κανόνες.

Ὁ τῆς Θεοτόκου Προεόρτιος, μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄ καὶ ὁ τοῦ Ἱεράρχου, ἄνευ Εἱρμῶν εἰς δ΄.

**Τῆς Θεοτόκου,** οὗ ἡ Ἀκροστιχίς· «Γέννησιν ὑμνῶ τῆς Θεόπαιδος Κόρης. Ἰωσήφ».

Ἦχος δ΄.

ᾨδὴ α΄. Ὁ Εἱρμός.

**«Ἀ**νοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα». (δὶς)

**Γ**ηθόμενοι σήμερον, μετ᾽ εὐφροσύνης ὑμνήσωμεν, τὸ θεῖον Γενέθλιον, τῆς Θεομήτορος· καὶ γὰρ τέτοκε, χαρὰν τῇ οἰκουμένῃ, λύπην Προμήτορος ἐξαφανίσασα.

**Ἐ**κ στείρας προέρχεται, τῆς ἁμαρτίας ἡ στείρωσις, ἣν νόμος προέγραψε, καὶ τὰ κηρύγματα, προεδήλωσαν, τῶν θείων θεηγόρων, ἡ πάναγνος Δέσποινα, καὶ παναμώμητος.

**Ν**αὸς καὶ παλάτιον, τοῦ Βασιλέως γεγένησαι, ἐν ᾧ τὴν κατοίκησιν αὐτοῦ ποιούμενος, οἰκητήριον, τῆς Ἁγίας Τριάδος, πιστοὺς ἀπεργάσεται ὁ ὑπερούσιος.

**Ν**υμφὼν ὡραιότατος, θρόνος Θεοῦ ὑψηλότατος, ἐδείχθης Θεόνυμφε, ἐν ᾧ καθίσας σαρκί, τοὺς καθημένους, ἐν σκότει ἀπωλείας, ἐγερεῖ πρὸς γνώσεως, φῶς ἀγαθότητι.

**Τοῦ Ἱεράρχου,** οὗ ἡ Ἀκροστιχίς· «Χρυσοστόμῳ. Πόνος Κυπριανοῦ».

Ἦχος πλ. δ΄.

ᾨδὴ α΄. Ὁ Εἱρμός. Ἄσωμεν τῷ Κυρίῳ.

**Χ**εῖρα μεμολυσμένην, νοῦν τεθολωμένον, ἁπλανῆ γραφῇ, Σὺ ὦ Τριὰς ὁδήγει, τοῦ ὑμνῆσαι, τὸν νέον Χρυσόστομον. (δὶς)

**Ῥ**ήτορα θεοφόρον, πλάνης καθαιρέτην, ἐν χρυσαῖς τομαῖς, καὶ τῇ Θεοῦ δυνάμει, ἀσιγήτως, τιμῶμεν ἐν ᾄσμασιν.

Θεοτοκίον.

**Ὕ**μνοις χαριστηρίοις, γνήσιόν Σου δοῦλον, καὶ λιταῖς Αὐτόν, τὸν εὐλαβῆ Ποιμένα, νῦν ὑψοῦμεν, πρεσβείαις Σου Δέσποινα.

**Καταβασία· Σταυρὸν χαράξας.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ γ´. Ὁ Εἱρμός.

«**Ὅ**τι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε Συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε». (δὶς)

**Ἡ** γῆ ἡ κατάκαρπος, ἐκ γῆς ἀκάρπου γεννᾶται, ἥτις καρπογονήσει, τὸν γεωργὸν τῶν ἀγαθῶν, καὶ ζωηφόρον ἄσταχυν, τὸν τρέφοντα πάντας θείῳ νεύματι.

**Σ**ήμερον ἐβλάστησε, τῆς Παρθενίας ἡ ῥάβδος, ἐξ ἧς ἀνθήσει ἄνθος, ὁ φυτουργὸς ἡμῶν Θεός, τὰ πονηρὰ βλαστήματα, ἀποτέμνων ἄκρᾳ ἀγαθότητι.

**Ἴ**δε τὸ ἀλάξευτον, ὄρος ἐκ πέτρας ἀγόνου, ἀποτεχθὲν τὸν λίθον, καρπογονεῖ τὸν νοητόν, ὃς συντριβὴν ἐργάσεται, τῶν ξοάνων πάντων τοῦ ἀλάστορος.

**Ν**όμου προχαράγματα, Σὲ προεδήλωσαν Κόρη· τὸν νομοδότην Σὺ γάρ, νομίμων δίχα ἐν γαστρί, κυοφορεῖς τηροῦντά Σε, ὑπὲρ λόγον ἄφθορον ἀμίαντον.

**Τοῦ Ἱεράρχου.**

Ὠδὴ γ´. Σὺ εἶ τὸ στερέωμα.

**Σ**ύμπασα ὁμήγυρις, τῶν Ὀρθοδόξων Χρυσόστομε, ἐν τῷ Φωτί, θείῳ τῆς Τριάδος, προσκυνεῖ Σου τὰ Λείψανα. (δὶς)

**Ὅ**λως ἠκολούθησας, ἡμῶν Σωτῆρι Χρυσόστομε, Ὦ στερεῶς, ἅπας ῥιζωμένος, τοῖς Πατρῴοις ἐνέμεινας.

Θεοτοκίον.

**Σ**τήριξον Πανάμωμε, ἐν Εὐσεβείᾳ τὰ τέκνα Σου, Σὺ ἀληθῶς, θείων Ἀποστόλων, καὶ Πατέρων τὸ καύχημα.

**Καταβασία· Ῥάβδος εἰς τύπον.**

* * *

## Κοντάκιον καὶ Οἶκος τῆς Θεοτόκου. Προεόρτια.

Κοντάκιον.

Ἦχος γ´. Ἡ Παρθένος σήμερον.

**Ἡ** Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄλυτος, τοῦ οὐρανίου Νυμφίου, τίκτεται, ἀπὸ τῆς στείρας θεοβουλήτως, ὄχημα, τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γὰρ καὶ προωρίσθη, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως Ζωῆς.

Οἶκος τῆς Θεοτόκου.

**Τ**ῇ στειρευούσῃ καρπὸς ἐδόθη ἡ θεόπαις Μαρία· Ἣν προεῖδόν ποτε θεῖοι Προφῆται ἐν

Πνεύματι· Ταύτην ἡμεῖς σήμερον ὁρῶντες, ἐν τοῖς κόλποις τῆς Ἄννης σκιρτῶσαν, σὺν τῷ πιστῷ Ἰωακείμ, νοητῶς πρὸς ἑστίασιν συνέλθωμεν, καὶ τοὺς πόῤῥω καλέσωμεν, λέγοντες· Τοῦ κόσμου νῦν ἡ ἀνάκλησις, ἐξ ἀκάρπου γαστρὸς ἀνεβλάστησεν, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως Ζωῆς.

* * *

## Καθίσματα.

Τοῦ Ἱεράρχου· καὶ τῆς Θεοτόκου, Προεόρτιον.

**Τοῦ Ἱεράρχου.**

Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

**Τ**ὰς ζοφερὰς τῶν Δυτικῶν ἐλέγξας πλάνας, καὶ Καλανδάριον τὸ Νέον ἀπελάσας, ἀνεδείχθης προστάτης τῆς Ὀρθοδοξίας· τὰ Μύρα τῶν Σῶν Λειψάνων τὰ ἱερά, πληροῦσι πάσας καρδίας θείου Φωτός, καὶ τὸν ζόφον διώκουσι, δογμάτων πλάνης ἐχθροῦ· κραυγάσωμεν οὖν ἅπαντες, χαῖρε θεῖε Χρυσόστομε.

Δόξα. Καὶ νῦν.

**Προεόρτιον.** Ὅμοιον.

**Ἀ**γαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανός, ἐν γῇ ἐτέχθη, ἡ θεόνυμφος Αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ, Ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαυῒδ. Ὄντως θαῦμα παράδοξον!

* * *

## Κανόνων συνέχεια.

**Τῆς Θεοτόκου.**

ᾨδὴ δ΄. Ὁ Εἱρμός.

**«Ὁ** καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ Παρθένῳ καὶ διέσωσε, τοὺς κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει Σου». (δὶς)

**Ὑ**περτέρα τῶν Ἀγγέλων ἐπὶ γῆς Κόρη τίκτεται, ἐν ἁγιωσύνῃ οὖσα καὶ καθάρσει ἀσύγκριτος, Ἥτις τὴν κάθαρσιν πάντων Χριστὸν τέξεται, ἁγιότητα, καὶ παντελῆ ἀπολύτρωσιν.

**Μ**ακαρία ἡ κοιλία ἡ τῆς Ἄννης γεγένηται· τὴν γὰρ ἐν κοιλίᾳ μέλλουσαν χωρεῖν τὸν μακάριον, καὶ μὴ χωρούμενον Λόγον, ἀπεγέννησεν, ἀναγέννησιν, πᾶσι πιστοῖς παρεχόμενον.

**Ν**ῦν ὁ ζόφος τῆς κακίας, ἐκμειοῦσθαι ἀπάρχεται· ἡ γὰρ τοῦ ἡλίου ἔμψυχος νεφέλη ἀνέτειλε, στειρωτικῶν ἐκ λαγόνων, ἡ πανάμωμος· Ἧς τὴν γέννησιν, τὴν φωταυγῆ ἑορτάσωμεν.

**Ὡ**ς κατάκαρπον ἐλαίαν, τὴν ἐκ ῥίζης βλαστήσασαν, Ἰεσσαὶ

Παρθένε, Ἄννα Σὲ βλαστάνει βλαστάνουσαν, τὸν ἐλεήμονα Λόγον, Οὗ τὸ ἔλεος, καὶ ἡ ἀλήθεια, διὰ παντός προπορεύεται.

**Τοῦ Ἱεράρχου.**

Ὠδὴ δ΄. Ἐξ ὄρους κατασκίου.

**Τ**ῆς Πίστεως Προστάτης, λόγοις Σου ἐδείχθης, καὶ πάσης Ἐκκλησίας, Πρόμαχος παμμάκαρ, ὑπερορίας ὑπέμεινας, καὶ καθεῖλες, τῶν Καινοτόμων ὀχυρώματα. (δὶς)

**Ὁ** νέος Ἀληθείας, Ἄτλας καὶ Ἡγήτωρ, καὶ Πρόεδρος κατέστης, Πίστεως Γνησίας, Μοναδικὸν δὲ ἐκήρυξας, Ἐκκλησίας, Συγκρητιστῶν Σὺ ἀπεχόμενος.

Θεοτοκίον.

**Μ**ετάνοιάν μοι δίδου, Μῆτερ τοῦ Σωτῆρος, ῥοαῖς δὲ τῶν δακρύων, κάθαρον τὸν ῥύπον, καὶ τοῦ νοός μου τὴν σκότωσιν, καὶ καρδίας, τοῦ ἀνυμνεῖν Σου τὰ θαυμάσια.

**Καταβασία· Εἰσακήκοα Κύριε.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

**«Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ Σου· Σὺ γάρ, ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί Σε, σωτηρίαν βραβεύουσα». (δὶς)

**Τ**ὸ ἐσφραγισμένον νῦν βιβλίον ἀποτίκτεται, ὅπερ ἀναγνώσεται οὐδόλως, φύσεως νόμῳ βροτὸς τηρούμενον, Λόγου εἰς κατοίκησιν καθώς, βίβλοι προεδήλωσαν, θεηγόρων ἐν πνεύματι.

**Ἡ** ἄμπελος σήμερον, ἐτέχθη ἡ σωτήριος, ἥτις τὸν ἀκήρατον ἀνθήσει, βότρυν τὸν θεῖον, γλεῦκος προχέοντα, ἐξ οὗ πᾶς ὁ πίνων μυστικῶς, θείαν καὶ σωτήριον, εὐφροσύνην καρπώσεται.

**Σ**κιρτήσατε Ἄγγελοι, ἀνθρώποις συγχορεύοντες· σήμερον ἐκ στείρας ἡ Παρθένος, ἀποτεχθεῖσα τὴν λύπην ἔπαυσε, καὶ προοιμιάζεται χαράν, τοῖς πανηγυρίζουσι, τὴν Αὐτῆς θείαν γέννησιν.

**Θ**εῖος προδιέγραψε, Προφήτης προδηλότατα, τόμον Σε καινὸν ἐν ᾧ δακτύλῳ, Λόγος πατρῴῳ, Κόρη γραφήσεται, βίβλῳ καταγράφων τῆς ζωῆς, πάντας ἀγαθότητι, τοὺς Αὐτῷ πειθαρχήσαντας.

**Τοῦ Ἱεράρχου.**

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν Σοι.

**Ὡ**ραΐσας τὴν Ποίμνην Σου Ἅγιε, δοὺς εἰς Αὐτήν, πλοῦτον τῶν Λειψάνων Σου, δι᾽ Ὧν προχέονται θαύματα. (δὶς)

**Π**ροτάσεις Καινοτόμων ἀπέῤῥιψας, δόξαν μισῶν, καὶ μιμούμενος Χριστόν, Μαδύτου γόνε πανθαύμαστε.

Θεοτοκίον.

**Ὁ**ρῶν με κατακείμενον Δέσποινα, δοῦλον τὸν Σόν, ἔγει-

ρον ταῖς Σαῖς λιταῖς, Μητέρα ἄλλην οὐκ ἔχομεν.

**Καταβασία· Ὢ τρισμακάριστον ξύλον.**

**Τῆς Θεοτόκου.**

ᾨδὴ ϛ΄. Ὁ Εἱρμός.

«**Τ**ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες Ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ Αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες». (δὶς)

**Ἐ**τέχθη σήμερον γέφυρα, μετάγουσα πρὸς φῶς τὸ ἀνθρώπινον, κλῖμαξ οὐράνιος, ὄρος Θεοῦ ἐμφανέστατον, ἡ Θεοτόκος Κόρη Ἣν μακαρίσωμεν.

**Ὁ** κόχλος Ἄννα προήγαγε, πορφύραν τὴν τὸ ἔριον βάψασαν, τῆς σωματώσεως, τοῦ Βασιλέως εἰς ὕστερον, Ἣν ἐπαξίως πάντες ὑμνολογήσωμεν.

**Π**ηγὴ νυνὶ προελήλυθε, ῥανίδος ἐκ μικρᾶς ἡ Πανάμωμος, Ἥτις τὴν ἄβυσσον, τῆς σωτηρίας κυήσασα, πολυθεΐας παύσει ἄπειρα ῥεύματα.

**Ἀ**κάρπου ῥίζης ἐβλάστησας, καὶ πρόῤῥιζον κακίας τὴν ἄκανθαν, τῷ ὑπὲρ φύσιν Σου, θείῳ βλαστῷ ἐναπέτεμες, Θεογεννῆτορ Κόρη ἀειμακάριστε.

**Τοῦ Ἱεράρχου.**

ᾨδὴ ϛ΄. Χιτῶνά μοι παράσχου.

**Ν**εκρώσας Καινοτόμων τὰς ὁρμάς, φωτὶ τῷ τῆς Χάριτος, θεῖε Χρυσόστομε, εὐχαρίστως ὁ Λαός, νῦν γεραίρει Σε. (δὶς)

**Ὁ** νέος τῆς Γνησίας Κιβωτοῦ, Ἱεράρχης ἔμπλεως, Πνεύματος ἄνωθεν, θεολόγων ἡ φωνή, ἡ στεντόρειος.

Θεοτοκίον.

**Σ**τενάζουσαν, ψυχήν μου ὦ Ἁγνή, νῦν ἐλπίδος πλήρωσον, νοῦν μου δὲ αὔγασον, Χρυσοστόμου ταῖς λιταῖς, τοῦ συλλήπτορος.

**Καταβασία· Νοτίου θηρός.**

* * *

## Κοντάκιον καὶ Οἶκος τοῦ Ἱεράρχου.

**Κοντάκιον.**

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

**Τ**ὸν Ἱεράρχην τοῦ Χριστοῦ τὸν Θεοπρόβλητον, Ὁμολογίας Ὀρθοδόξου θεῖον ἔρεισμα, Ζηλωτῶν Σε αἱ χορεῖαι ἀνευφημοῦμεν· τὴν δὲ Μνήμην Σου τιμῶντες ὦ Χρυσόστομε, Σὲ γεραίρομεν ἡμῶν τὸ περιτείχισμα· καὶ κραυγάζομεν· Χαῖρε Πάτερ θεόστεπτε.

**Οἶκος.**

**Ἄ**γγελος καὶ Προστάτης, Ὀρθοδόξων ἐφάνης, ἐσχάτως θεοδώρητος Πάτερ, καὶ τῆς Θεολογίας αὐγαῖς, Καινοτόμων λήρους τοὺς δεινοὺς ἤλασας, καὶ ἅπαντας διήγειρας, τοῦ βοᾶν Σοι εὐφροσύνως ταῦτα·

**Χ**αῖρε, δι᾽ οὗ κατησχύνθη ἡ πλάνη,

Χαῖρε, δι᾽ οὗ ἡ Ἀλήθεια λάμπει·

Χαῖρε, Ὀρθοδόξων ἁπάντων παράκλησις,

Χαῖρε, Καινοτόμων ἡ τελεία ἀναίρεσις·

Χαῖρε, τεῖχος ἀῤῥαγέστατον Ἐκκλησίας τοῦ Χριστοῦ,

Χαῖρε, φάρος τηλαυγέστατος Ἀληθείας τοῦ Θεοῦ·

Χαῖρε, ὅτι διώκεις τὰς αἱρέσεις ἁπάσας,

Χαῖρε, ὅτι στηρίζεις Εὐσεβείας τοὺς λάτρας·

Χαῖρε, Πατὴρ καὶ ῥήτωρ θεόληπτε,

Χαῖρε, λαμπτὴρ σοφίας ἀκοίμητε·

Χαῖρε, δι᾽ οὗ ἀπελαύνεται ζόφος,

Χαῖρε, δι᾽ οὗ θεῖος ἅπτεται πόθος·

Χαῖρε, Πάτερ θεόστεπτε!

## Μηνολόγιον.

Τῇ Ζ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Χρυσοστόμου τοῦ Νέου, τοῦ Ὁμολογητοῦ Ἱεράρχου, τοῦ Πρωθιεράρχου καὶ Θεοῤῥήμονος Ἡγήτορος τῆς ἐν Ἑλλάδι Γνησίας Ὀρθοδοξίας.

## Στίχοι

Ἐν ἑβδόμῃ Χρυσόστομος τὸν δρόμον τετέλεκε,

Λαβὼν στεφάνους ἀποκειμένους νίκης·

Θείᾳ δόξῃ πρὸς Τριάδα Ἁγίαν ἐν χαρᾷ ἀναβέβηκε,

Δεδωκὼς Παραθήκην τοῖς ἑαυτοῦ τέκνοις.

## Συναξάριον

Οὗτος, ὁ μέγας ἐν Ὀρθοδόξῳ Ὁμολογίᾳ, ὁ χρυσοῦς ἐν γλώσσῃ τε καὶ σοφίᾳ καὶ βίῳ Ἀρχιερεὺς τοῦ Ὑψίστου, ἦν ἐκ Μαδύτου τῆς εὐάνδρου Θράκης, γεννηθεὶς ἐξ εὐσεβῶν γονέων Γεωργίου καὶ Μελπομένης Καβουρίδου, κατὰ τὸ σωτήριον ἔτος χιλιοστὸν ὀκτακοσιοστὸν ἑβδομηκοστὸν (1870).

Ἐλθὼν εἰς τὴν ζωήν, καθ᾽ ἣν ἡμέραν τιμᾶται ὁ Μέγας Φωστὴρ τῆς Ἐκκλησίας καὶ ἐν Πατράσι περιάκουστος, ἐν δὲ Πατριάρχαις κορυφαιότατος Ἰωάννης, ὁ καὶ δικαίως προσωνυμηθεὶς Χρυσόστομος, ὁ νέος οὗτος Χρυσόστομος ἐδείχθη ἐραστὴς τῆς ἄνωθεν σοφίας, ἅμα δὲ καὶ ζηλωτὴς θερμότατος τῆς διακονίας εἰς τὰς αὐλὰς τοῦ Κυρίου, μιμητὴς οὕτω γενόμενος τοῦ καὶ ἰδιαιτέρου προστάτου Αὐτοῦ, φερωνύμως ζήσας, διδάξας καὶ ὁμολογήσας.

Ἐσπούδασεν, ἀριστεύων ἐν πᾶσι, τὴν ἱερὰν ἐπιστήμην εἰς τὴν Θεολογικὴν Σχολὴν τῆς Χάλκης ἐν Κωνσταντινουπόλει, διετέλεσε Πρωτεύων Διάκονος τῶν Πατριαρχείων, Ἱεροκήρυξ Πανόρμου, Μέγας Πρωτοσύγκελλος τῶν Πατριαρχείων καὶ ἐχειροτονήθη ἐν ἔτει χιλιοστῷ ἐνακοσιοστῷ ὀγδόῳ (1908) Ἐπίσκοπος Ἴμβρου, μετὰ δὲ τέσσαρα ἔτη προήχθη εἰς Μητροπολίτην Πελαγονίας τῆς Μακεδονίας καὶ ἀργότερον διετέλεσε Μητροπολίτης Φιλιατῶν καὶ Γηρομερίου, ἐν

συνεχείᾳ δὲ Μητροπολίτης Φλωρίνης, παραιτηθεὶς ἐν τέλει διὰ λόγους ὑγείας μετὰ ἕξ ἔτη ποιμαντορίας (1932).

**Ν**εύσει θείᾳ, κατὰ τὸ ἔτος χιλιοστὸν ἐνακοσιοστὸν τριακοστὸν πέμπτον (1935), τοὺς οἴακας δεξάμενος τῶν ἀρνησαμένων τὴν ἀπὸ τοῦ ἔτους χιλιοστοῦ ἐνακοσιοστοῦ εἰκοστοῦ τετάρτου (1924) υἱοθετηθεῖσαν Ἡμερολογιακὴν Μεταῤῥύθμισιν καὶ στεῤῥῶς ἐχομένων τοῦ Πατροπαραδότου Ἐκκλησιαστικοῦ Ἡμερολογίου, τοῦ καὶ Συνοδικῶς θεσπισθέντος, παρὰ τὸ προκεχωρημένον δὲ τῆς ἡλικίας Αὐτοῦ, ἠγωνίσθη σθεναρῶς διὰ τὴν Ὀρθόδοξον Ὁμολογίαν καὶ κατὰ τῆς Καινοτομίας ἐπὶ ὅλην εἰκοσαετίαν, μάλιστα δὲ ἐξορισθεὶς δίς, ἐν ἔτεσι χιλιοστῷ ἐνακοσιοστῷ τριακοστῷ πέμπτῳ (1935) καὶ χιλιοστῷ ἐνακοσιοστῷ πεντηκοστῷ πρώτῳ (1951).

**Ὁ** ἀκλινὴς οὗτος πρόμαχος τῆς Γνησίας Ὀρθοδοξίας, ἀναδειχθεὶς εἰς φαεινοτάτην ἐκκλησιαστικὴν καὶ ἐθνικὴν Μορφήν, ῥήτορα γλαφυρώτατον καὶ συγγραφέα πολυγραφώτατον, ἐλεγκτὴν τῶν ἀθέσμως καινοτομησάντων καὶ καθαιρέτην τῶν τῆς Δύσεως αἱρέσεων καὶ πλανῶν, ἐν οἷς καὶ τὸ Νέον Καλανδάριον, ἐκοιμήθη ἀγωνιζόμενος ἐπὶ τῶν ἀδαμαντίνων ἐπάλξεων τῆς Ἁγίας Πίστεως ἡμῶν κατὰ τὸ ἔτος χιλιοστὸν ἐνακοσιοστὸν πεντηκοστὸν πέμπτον, ἐν μηνὶ Σεπτεμβρίῳ καὶ ἡμέρᾳ ἑβδόμῃ (7.9.1955), φέρων πολλαπλοῦς τοὺς στεφάνους τῆς θείας δόξης, καταλιπὼν δὲ μνήμην Ὁσίου καὶ Μάρτυρος τῆς Ὀρθοδόξου Παραδόσεως.

**Ἡ** Σύναξις Αὐτοῦ τελεῖται κατ᾽ ἔτος εἰς τὴν ἱερὰν καὶ σεβασμίαν γυναικείαν Μονήν, τὴν ἀφιερωμένην εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, ἄνωθεν τῶν Ἀχαρνῶν τοῦ Νομοῦ Ἀττικῆς, παρὰ τὰς νοτίους ὑπωρείας τοῦ ὄρους Πάρνηθος, ἔνθα καὶ τὸ σεπτὸν Αὐτοῦ μνῆμα, ὡς καὶ τὰ χαριτόβρυτα καὶ εὐωδιάζοντα Αὐτοῦ ἱερὰ Λείψανα.

**Τ**αῖς Αὐτοῦ ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. **Ἀ**μήν.

* * *

## Κανόνων συνέχεια.

### Τῆς Θεοτόκου.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

«**Ο**ὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ». (δὶς)

**Ἰ**ωακείμ τε καὶ Ἄννα μακαρίζονται, ἀποκυήσαντες, τὴν μακαρίαν σαφῶς, ἁγνὴν Θεομήτορα, Λόγον κυήσασαν, τὸν Μακάριον, τὸν μακαρίους ἅπαντας, τοὺς πιστοὺς ἀποτελοῦντα.

**Δ**ῶρον τίμιον ἐκτήσαντό Σε Πάναγνε, οἱ Σοὶ γεννήτορες, τὴν συλλαβοῦσαν Θεόν, τὸν καταπλουτίσαντα, δωρεαῖς κρείττοσι, τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Οἱ μαστοί σου ὑπὲρ οἶνον ἀγαθώτατοι, Ἄννα θεόκλητε, ὅτι μαστοῖς ἀγαθοῖς, τὴν τὸν ἀγαθώτατον Λόγον θηλάσασαν, σὺ ἐθήλασας, τὸν χορηγὸν τοῦ γάλακτος, καὶ πνοῆς τροφέα πάσης.

Σκίρτα κροῦε τὴν κινύραν σου θεόπνευστε, Δαυῒδ καὶ χόρευε· ἡ κιβωτὸς γὰρ ἰδού, ἣν πάλαι προήγγειλας, ἐκ στειρευούσης γαστρός, προελήλυθε, τῷ Βασιλεῖ τῆς κτίσεως, καὶ Θεῷ τετηρημένη.

**Τοῦ Ἱεράρχου.**

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Κήρυκα Γνησίων Ὀρθοδόξων, Σὲ ἀνέδειξε Χρυσόστομε παμμάκαρ, τῶν Πιστῶν ἡ φροντίς, καὶ Πίστεως οἱ κόποι, ἡμεῖς δέ Σε γεραίρομεν, ὡς σοφὸν Οἰακοστρόφον. (δὶς)

Ὕμνους Σοι πέμπομεν ἐνθέως, προσκυνοῦντες τῶν Λειψάνων Σου τὴν Θήκην, τῶν Σῶν τέκνων πληθύς, καὶ χαίρουσα βοᾷ Σοι· Συγκρητιστῶν καθαίρεσις, Σὺ Χρυσόστομε ὑπάρχεις.

Θεοτοκίον.

Παῦσον τὸν κλύδωνα Παρθένε, καὶ ἀθλίας μου ψυχῆς τὴν τρικυμίαν, καὶ ἐλπίδος Σεμνή, νῦν ἔμπλησον βοῶντα· ἁμαρτανόντων εὔδιε, ὁ Λιμὴν εὐχαριστῶ Σοι.

**Καταβασία· Ἔκνοον πρόσταγμα.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ η΄. Ὁ Εἱρμός.

«Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας».

Κινήσωμεν γλῶτταν ὑμνῳδίαις, τὸ θεῖον Γενέθλιον γεραίροντες, τῆς τὸν ὑπερύμνητον, Λόγον καὶ ὑπέρθεον, σωματωσάσης Πνεύματι, καὶ ἀνακράξωμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ θεῖοι σκιρτήσατε Προφῆται, τιμῶντες Παρθένου τὸ Γενέθλιον· Αὕτη γὰρ ἐπλήρωσε, πάντα τὰ κηρύγματα, τὸν ὑφ᾽ ὑμῶν δηλούμενον ἀποκυήσασα, Χριστὸν τὸν τοῦ παντὸς Βασιλέα, Ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήξατε τὰ ὄρη εὐφροσύνην, Ἀπόστολοι Μάρτυρες χορεύσατε, Ὅσιοι καὶ Δίκαιοι, νῦν ἀγαλλιάσθητε, τῷ Γενεθλίῳ σήμερον τῆς τοῦ Κυρίου Μητρός, τὸν Κύριον ὑμνεῖτε βοῶντες, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἤνθησε τὸ μῆλον τὸ εὐῶδες, τὸ ῥόδον τὸ θεῖον πεφανέρωται, καὶ κατευωδίασε, σήμε-

ρον τὰ πέρατα, καὶ τὸ δυσῶδες ἔπαυσε, τῆς ἁμαρτίας ἡμῶν, ἡ Πάναγνος καὶ Μήτηρ τοῦ Λόγου, Ἣν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Σ**τειρεύουσα φύσις τῶν ἀνθρώπων, σεπτῶν χαρισμάτων θείου Πνεύματος, σήμερον εὐφράνθητι, στείρας τὴν Θεόπαιδα, ἀποτεχθεῖσαν βλέπουσα καὶ ἀναβόησον· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Τοῦ Ἱεράρχου.**

Ὠδὴ η΄. Οἱ θεοῤῥήμονες Παῖδες.

**Ῥ**ητορευόντων τὸ κλέος καὶ θεολόγων, ὁ θεοπνεύστως στηρίξας, τὰ τῶν Πατέρων Θεσπίσματα, θεμελίῳ ἀσείστῳ, τιμάσθω Χρυσόστομος. (δὶς)

**Ἱ**λαστηρίους ἐνέγκας τῷ Παρακλήτῳ, καὶ προσελκύσας τὴν Χάριν, Ὀρθοδοξίας Χρυσόστομε, Ἐκκλησίαν ὡς Μίαν, καὶ Μόνην ἐδίδαξας.

Θεοτοκίον.

**Ἁ**πανταχοῦ Σε κηρύττω ἐν εὐλαβείᾳ, ὡς τοῦ ἐχθροῦ καθαιρέτιν, καὶ χορηγὸν τῆς θεώσεως, Χρυσοστόμου δὲ κόπους, θεόθεν βραβεύουσαν.

**Καταβασία· Εὐλογεῖτε, Παῖδες.**

**Τῆς Θεοτόκου.**

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

«**Ἅ**πας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων, φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε».

**Ἴ**δε τοῦ Θεοῦ, ὁ τόπος ὁ ἅγιος προφανῶς δέδεικται· πόλις ἡ περίδοξος, τοῦ Βασιλέως ἀνῳκοδόμηται, ὁ φωταυγὴς Παράδεισος, φαιδρῶς ἐξήνθησε, Παραδείσου, πρόξενος ὑπάρχουσα, πρὸς Θεόν τε ἀνθρώπων οἰκείωσις.

**Ὤ**φθη ἡ λαμπάς, λυχνία τε σήμερον, ἡ χρυσαυγίζουσα, φῶς τὸ προαιώνιον, ἐν ᾗ οἰκῆσαν, τοὺς ἐν νυκτὶ τῶν δεινῶν, καταφωτίσει παύσει τε, τῆς ἀθεΐας ἀχλύν, καὶ ἡμέρας, πάντας ἀπεργάσεται, κοινωνοὺς ἀληθῶς διὰ πίστεως.

**Σ**ήμερον ἡ γῆ, χορεύει· τὸν νέον γάρ, οὐρανὸν ἔβλεψε, Θεοῦ τὸν τερπνότατον, ἀποτεχθέντα· ἐν ᾧ οἰκήσας σαρκί, τῶν οὐρανῶν ἐπέκεινα, ἀναβιβάσει βροτούς, καὶ θεώσει, πάντας ἀγαθότητι· Ὃν ὑμνοῦντες πιστῶς μεγαλύνομεν.

**Ἡ** περικαλλής, δυὰς ἀνεβλάστησεν, Ἄννα καὶ Ἰωακείμ, δάμαλιν τὴν ἄσπιλον, ἐξ Ἧς ὁ μόσχος ὁ σιτευτὸς προελθών, ὑπὲρ τοῦ κόσμου τέθυται, αἴρων τὰ πταίσματα, τῶν ἀνθρώπων, τὰς προσαγομένας τε, καταπαύων θυσίας τοῖς δαίμοσι.

**Φ**ώτισον ἡμᾶς, τὸ Φῶς ἡ κυήσασα τοὺς τὴν φωσφόρον Σου, Γέννησιν ἐν Πνεύματι, Θεογεννῆτορ πανηγυρίζοντας, καὶ τοῦ φωτὸς τοῦ μέλλοντος, δεῖξον ἁγνὴ κοινωνούς· καὶ εἰρήνην, βράβευσον καὶ λύτρωσιν, τῶν δεινῶν μητρικαῖς ἱκεσίαις Σου.

**Τοῦ Ἱεράρχου.**

ᾨδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

**Ν**όσον αἱρέσεως δεινῆς, ὑψηλῷ τῷ κηρύγματι, θεῖε Χρυσόστομε, Σταυροῦ δυνάμει ὅλως ἀπέκρουσας, καὶ ἠγωνίσθης σθεναρῶς, ἀθλήσεως σκάμματι, διὸ ὡς Μάρτυρα, Ὀρθοδόξων, οἱ χοροί Σε δοξάζομεν. (δὶς)

**Ὅ**λος ὁ βίος Σου κλεινός, Ἀποστόλων καὶ Πατέρων Διάδοχε, Ἤθει καὶ Δόγμασιν· ὡς Φῶς καὶ Πόλις Χάριτι ἔλαμψας, καὶ καταλέλοιπας Πιστοῖς τὰ θεῖά Σου Λείψανα, διὸ ἡ Μνήμη Σου, διαμένει χρυσαυγῶς αἰωνίζουσα.

Θεοτοκίον.

**Ὕ**ψωσον δόξῃ καὶ τιμῇ τῶν Γνησίων Ὀρθοδόξων Διδάγματα, πλάνης δὲ δόγματα, ταχέως κατάβαλε καὶ ἀφάνισον, ἵνα Τριάδος τῷ Φωτί, Παρθένε Θεόνυμφε, τὸ θεῖον Κήρυγμα, Ἀποστόλων τοῦ Χριστοῦ μεγαλύνηται.

**Καταβασία· Μυστικῶς εἶ, Θεοτόκε.**

**Καὶ Ἑτέρα· Ὁ διὰ βρώσεως τοῦ ξύλου.**

* * *

**Ἐξαποστειλάρια.**

Τοῦ Ἱεράρχου· καὶ τῆς Θεοτόκου, Προεόρτιον.

**Τοῦ Ἱεράρχου.**

Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.

**Τ**ὸν Ἱεράρχην ἅπαντες, Χρυσόστομον τιμῶμεν, Στήλην καὶ Στῦλον ἄσειστον, ὄντα Ὀρθοδοξίας· λαβὼν γὰρ θείαν Σοφίαν, ῥήματα Καινοτόμων, καθεῖλε καὶ ἀπήλασεν, ἐξ Αὐλῆς τῆς Ἁγίας· καὶ εἰς ἡμᾶς, τὴν λαμπρὰν παρέδωκε Παραθήκην, Πατέρων τὰ Θεσπίσματα, πάντα διαφυλάττειν.

**Τῆς Θεοτόκου.**

Ὅμοιον.

**Ἀ**γάλλου κτίσις ἅπασα, τὴν χαρὰν αἰσθομένη, ἐξ Ἄννης τῆς θεόφρονος, ἥτις λέγεται Χάρις, Ἰωακείμ τε τοῦ θείου, τίκτεσθαι παρ᾽ ἐλπίδα, Μαρίαν τὴν πανάχραντον καὶ ἁγνὴν Θεοτόκον· Ἧς ὁ καρπός, σωτηρία γέγονε τοῖς ἀνθρώποις, Χριστὸς ὁ σαρκωθεὶς Θεός, ἐξ Αὐτῆς ἀπορρήτως.

* * *

## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν Στίχους ϛ΄, ἀρχόμενοι ἀπὸ τοῦ Στίχου· «Τοῦ ποιῆσαι ἐν αὐτοῖς...», ψάλλομεν δὲ τῆς Θεοτόκου Στιχηρὰ Προσόμοια τρία, Προεόρτια· καὶ τοῦ Ἱεράρχου τρία.

**Τῆς Θεοτόκου.** Προεόρτια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου.

**Ὢ** τοῦ παραδόξου θαύματος! ὡς ἐξ ἀγόνου μητρός, καὶ ἀκάρπου στειρώσεως, ῥάβδος ἄνθος φέρουσα, ἀναφύεται σήμερον, ἡ Θεομήτωρ καὶ ἀπειρόγαμος, ἐκ τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης· ὅθεν καὶ χαίρει νῦν, Προφητῶν τὸ σύστημα, Πατριαρχῶν, πᾶσα ἡ ὁμήγυρις, ἐν τῇ Γεννήσει Αὐτῆς.

**Σ**ήμερον Δαυῒδ ἀγάλλεται, καὶ Ἰεσσαὶ νῦν σκιρτᾷ, καὶ Λευῒ μεγαλύνεται, καὶ χαίρει τῷ πνεύματι, Ἰωακεὶμ ὁ δίκαιος, καὶ ἀτεκνία τῆς Ἄννης λύεται, τῇ Σῇ Γεννήσει Μαρία ἄχραντε, Θεοχαρίτωτε· καὶ Ἀγγέλων σύστημα, σὺν τοῖς βροτοῖς, πάντες μακαρίζομεν, τὴν θείαν μήτραν Σου.

**Χ**αίροις τῶν βροτῶν τὸ σύστημα· χαῖρε Κυρίου ναέ· χαῖρε ὄρος τὸ ἅγιον· χαῖρε θεία τράπεζα· χαῖρε λύχνε ὁλόφωτε· χαῖρε τὸ κλέος τῶν Ὀρθοδόξων Σεμνή· χαῖρε Μαρία, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ· χαῖρε Πανάμωμε· χαῖρε θρόνε πύρινε· χαῖρε σκηνή· χαῖρε βάτε ἄφλεκτε· χαῖρε ἡ πάντων ἐλπίς.

**Τοῦ Ἱεράρχου.**

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

**Π**ᾶσα εὐσεβούντων ἡ πληθύς, νῦν ἐν Ἐκκλησίᾳ μεγάλῃ, γεγωνυΐᾳ φωνῇ, ὕμνοις τε καὶ ἄνθεσι, φαιδρῶς τιμήσωμεν, Ἱεράρχην Χρυσόστομον, σοφῶς καὶ ἀνδρείως, τὸν ὁμολογήσαντα, Πίστιν Ὀρθόδοξον, Θέσπισμα κυρώσαντα Θεῖον, δόγμα δὲ δεινὸν καθελόντα, πάντας καταπλήξαντα κακόφρονας.

**Θ**είου Ἱεράρχου καὶ σεπτοῦ, τοῦ ἐν θεολόγοις μεγάλου, καὶ συγγραφαῖς θαυμαστοῦ, ἅπαντες ὑμνήσωμεν, λαμπρὰ ἀθλήματα· Ποιμενάρχα Χρυσόστομε, Αὐτῷ μελωδοῦντες, Γνήσιόν Σου Ποίμνιον, νῦν περιφρούρησον, πᾶσιν ἀπονέμων εἰρήνην, τήρει ἐν ἑνότητι πάντας, λήρους Καινοτόμων ἀποῤῥίπτοντας.

**Μ**ίαν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἐν Ὁμολογίᾳ κηρύττει, τῶν εὐσεβῶν ὁ χορός, στέργων δὲ τὸ Σύμβολον, Πατέρων ἄτρωτον, νῦν τιμᾷ τὸν Χρυσόστομον, φωστῆρα τὸν θεῖον, στήσαντα τὸ τρόπαιον, κατὰ αἱρέσεως, πάντας προτρεπόμενον θείως, φεύγειν Καινο-

τόμων τὸ σκότος, Μίαν δὲ κηρύττειν τὴν Ἀλήθειαν.

Δόξα. Ἦχος β΄.

**Τοῦ Ἱεράρχου.**

**Ἀ**ποστόλων καὶ Πατέρων τὰς Δόξας, Σὺ θεοφρόνως κηρύξας, Χρυσόστομε θεσπέσιε, ἠρνήθης τῶν Καινοτόμων, τὰ ῥήματα ἀνοίας, καὶ δείξας Ἐκκλησίας, ἀρχαίας τὴν εὐπρέπειαν, πάντας ὡδήγησας θείᾳ Δόξῃ, Τριάδος τῇ Χάριτι.

Καὶ νῦν. Ἦχος β΄.

**Προεόρτιον.**

**Ἡ** προορισθεῖσα παντάνασσα Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νηδύος προῆκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς Ἀϊδίου Οὐσίας τὸ θεῖον τέμενος· δι᾽ Ἧς ἰταμὸς ᾍδης καταπεπάτηται, καὶ παγγενῆ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται· Ταύτῃ ἐπαξίως ἐκβοήσωμεν· Μακαρία Σὺ ἐν γυναιξί, καὶ ὁ καρπὸς τῆς κοιλίας Σου εὐλογημένος.

Δοξολογία Μεγάλη.

**Ἀπολυτίκιον τοῦ Ἱεράρχου.**

**Δόξα. Καὶ νῦν, τὸ Προεόρτιον.**

Ἡ Ἐκτενὴς καὶ τὰ Πληρωτικά.

Ἀπόλυσις.

* * *

# Εἰς τὴν Θείαν Λειτουργίαν

**Τυπικὰ**

Ὁ Ψαλμὸς ρβ΄, Ἦχος πλ. δ΄, ὡς καὶ ὁ Ψαλμὸς ρμε΄, Ἦχος β΄.

•

**Μακαρισμοὶ**

Ἱστῶμεν Στίχους η΄ καὶ ψάλλομεν ἐκ τοῦ Προεορτίου Κανόνος, τροπάρια δ΄ ἐκ τῆς Ὠδῆς γ΄, ἐκ δὲ τοῦ Κανόνος τοῦ Ἱεράρχου, τροπάρια δ΄, ἐκ τῆς Ὠδῆς ϛ΄.

•

**Ἀπόστολος**

Βλέπε Ἰανουαρίου ΙΗ΄, Πρὸς Ἑβραίους ιγ΄ 7-16.

Βλέπε Ἐπίμετρον, σελ. 39.

•

**Εὐαγγέλιον**

Βλέπε, Ἰανουαρίου Λ΄, τὸ τῆς Θείας Λειτουργίας, ἐκ τοῦ κατὰ Ματθαῖον ε΄ 14-19.

Βλέπε Ἐπίμετρον, σελ. 41.

•

**Σημείωσις**

Εἰ δέ ἐστι Σάββατον πρὸ τῆς Ὑψώσεως, **Προκείμενον** τοῦ Σαββάτου πρὸ τῆς Ὑψώσεως, **Ἀπόστολος** τοῦ Σαββάτου πρὸ τῆς Ὑψώσεως καὶ τοῦ Ἱεράρχου, **Ἀλληλουϊάριον** δὲ τοῦ Ἱεράρχου καὶ **Εὐαγγέλιον** τοῦ Σαββάτου πρὸ τῆς Ὑψώσεως καὶ τοῦ Ἱεράρχου.

•

## Κοινωνικὰ

**Προεόρτιον.**

Ψαλμὸς ριε΄ 4.

**Π**οτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

**Καὶ τοῦ Ἱεράρχου.**

Ψαλμὸς ρια΄ 6.

**Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

* * *

## Μεγαλυνάριον

Ἦχος πλ. δ΄.

**Χ**αίροις τῶν Πατέρων ὁ μιμητής, θράσος Καινοτόμων, θαρσαλέως καταβαλών· τῆς Πίστεως πύργος, στεῤῥὸς ἐν τοῖς ἐσχάτοις, Χρυσόστομε ἐδείχθης, ὅθεν τιμῶμέν Σε.

* * *

## Δίστιχα

**Χ**ρυσόστομε κλέϊσμα Πίστεως νέον,
δέξαι μου πόνημα καὶ τόλμημα ἅμα.

**Θ**αῤῥήσας προσήνεγκα τοῦτον τὸν Ὕμνον,
Μνήμῃ καὶ αἴγλῃ Σου Χρυσόστομε μάκαρ.

**Κ**ηρύξας Χρυσόστομε ἆθλά Σου πᾶσι,
Δός μοι τὸ Φῶς Κυπριανῷ τῷ Σῷ δούλῳ.

†

*Τῷ δὲ Δοτῆρι*
*καὶ Εὐεργέτῃ Θεῷ ἡμῶν,*
*τῷ Πατρί, καὶ τῷ Υἱῷ*
*καὶ τῷ θείῳ Παρακλήτῳ,*
*δόξα, προσκύνησις,*
*καὶ εὐχαριστία!*
*Ἀμήν!*



# Ἀκολουθία Ἱερᾶς Παρακλήσεως
## τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Χρυσοστόμου, τοῦ Ὁμολογητοῦ Ἱεράρχου καὶ Πρωθιεράρχου

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεὺς ἄρχεται τῆς Ἱερᾶς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν·

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης·

Ἀμήν!

**Ψαλμὸς ρμβ′ (142)**

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων.

Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου·

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα·

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου·

**Ἐ**ξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου·

**Τ**ὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με·

**Ἐ**ν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου·

**Κ**αὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

* * *

Καὶ εὐθὺς ψάλλεται ὑπὸ τοῦ Λαοῦ τετράκις ἐξ ὑπαμοιβῆς μετὰ τῶν οἰκείων στίχων·

**Ἦχος δ΄.**

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ.

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

**Θ**εὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Εἶτα τὰ παρόντα Τροπάρια.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Μ**ετανοοῦντες Ἱεράρχῃ προστρέξωμεν, βεβαρημένοι ἁμαρτίαις ἐλπίσωμεν, ἐν στεναγμοῖς καὶ δάκρυσι καὶ πόνῳ ψυχῆς· σπεῦσον ὦ Χρυσόστομε, καὶ ἀχλὺν τῶν πταισμάτων, λῦσον ταῖς πρεσβείαις Σου, ὡς Πατὴρ φιλοστόργως· Σὺ γὰρ τῆς πλάνης ἔσωσας ἡμᾶς, διὸ τιμῶμεν τὰ θεῖά Σου Λείψανα.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

**Ἑ**δραίῳ φρονήματι, καὶ θεολόγῳ φωνῇ, κατέβαλες φρύαγμα τῶν Καινοτόμων Σοφέ, καὶ ἤθλησας ἄριστα· κλέος Ἀρχιερέων, ὦ Χρυσόστομε ὤφθης, Πίστιν τῶν Ὀρθοδόξων, στερεώσας ἐσχάτως, ἀμέμπτῳ Ὁμολογίᾳ, βίῳ θεόφρονι.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Τ**ῆς Θεοτόκου μεγαλεῖα ὑμνήσωμεν· τὰ δευτερεῖα τῆς Τριάδος ἐχούσης γάρ, Αὐτῆς πρεσβεῖαι φθάνουσιν ἐν Θρόνῳ Χριστοῦ· δεῦτε καὶ προσπέσωμεν, οἱ δονούμενοι λύπαις· δὸς ἡμῖν Πανάχραντε, ἐκβοήσωμεν πάντες, παραμυθίας ῥεῖθρα δαψιλῶς· Σὺ γὰρ ὑπάρχεις ταμεῖον τῆς Χάριτος.

* * *

Ὁ Ἀναγνώστης·

**Ψαλμὸς ν′ (50)**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου·

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με·

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου·

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

* * *

Καὶ ἄρχεται ὁ Λαός, ψάλλων ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καὶ ἐν εὐλαβείᾳ, τὸν ἑξῆς Κανόνα, προτάσσων τοῦ μὲν πρώτου τροπαρίου τὸ ἐφύμνιον· Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν δὲ δύο ὑπολοίπων τοὺς δύο στίχους τῆς μικρᾶς δοξολογίας· Δόξα, Καὶ νῦν.

Ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·
«Κυπριανοῦ Δέησις τῷ Χρυσοστόμῳ».

Ἦχος πλ. δ΄.

**Ὠδὴ α΄.**

Ὑγρὰν διοδεύσας.

**Ἅ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κατάπεμψον Χάριν δούλῳ τῷ Σῷ, Τριὰς Παναγία, καὶ καταύγασόν μου τὸν νοῦν, ἵνα Χρυσοστόμου Ἱεράρχου, νῦν ἀνυμνήσω, τὰ ἆθλα τῆς Πίστεως.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὑπέμεινας θλίψεις καὶ διωγμούς, θεῖε Ἱεράρχα, καὶ παρέμεινας ἀκλινής, ἐν Ὁμολογίᾳ Ὀρθοδόξῳ, καὶ Καινοτόμων ἀχλὺν Σὺ διέλυσας.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Παρθένε Προστάτις τῶν εὐσεβῶν, κλεινοῦ Ἱεράρχου, τοῦ Ἡγήτορος Εὐσεβῶν, τιμῶντας τὴν Μνήμην χαρμοσύνως, ἐν Ὀρθοδόξῳ τῇ Πίστει στερέωσον.

**Ὠδὴ γ΄.**

Οὐρανίας ἁψῖδος.

**Ἅ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥητορεύσας ἐνθέως, αἱρετικῶν δόγματα, καὶ Καινοτομίας τὴν πλάνην, δεινῶς κατέβαλες, καὶ ταῖς σεπταῖς Σου λιταῖς, Συγκρητιστῶν ληρωδίας, νῦν στομώνεις Χάριτι, θεῖε Χρυσόστομε.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ἰταμότητα Πάτερ, αἱρετικῆς Δύσεως, καὶ Καλανδαρίου τοῦ Νέου, καλῶς ἀπέκρουσας, καὶ Ὀρθοδόξων πληθύν, ζηλωτικῶς ἐμμενόντων, τοῖς Πατρῴοις Δόγμασι, Σὺ καθωδήγησας.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ἀφθονίᾳ χαρίτων, ὡς καὶ Φωτὶ Πνεύματος, Σὺ τὸν Ἱεράρχην Παρθένε, καταπεπλούτηκας, θεῖον Χρυσόστομον, Πελαγονίας τὸ κλέος, Ὀρθοδόξων στήριγμα, καὶ ἐγκαλλώπισμα.

* * *

Ἀπάλλαξον τῶν λυπηρῶν τὰ Σὰ τέκνα ὦ Ἱεράρχα, καὶ χαρᾶς τὰς καρδίας ἄνωθεν πλήρωσον, ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

* * *

Ὁ Διάκονος·

Τὰς κάτωθι Δεήσεις, τοῦ Λαοῦ ἀμοιβηδὸν μέλποντος τό· Κύριε ἐλέησον, δωδεκάκις, ἀνὰ τρὶς τετράκις·

**Ἐ**λέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ἔ**τι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τάδε- τοῦ ἐπιχωρίου Ἀρχιερέως), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ἔ**τι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (μνημονεύονται τὰ ὀνόματα, τῶν ὑπὲρ ὧν ἡ Ἱερὰ Παράκλησις τελεῖται), καὶ πάντων τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, μετὰ τῶν οἰκείων καὶ συγγενῶν αὐτῶν.

## Εὐχὴ

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

**Κ**ύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν Σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους Σου· καὶ τοὺς οἰκτιρμούς Σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαὸν Σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ Σοῦ πλούσιον ἔλεος.

Ἐκφωνεῖ ἐμμελῶς·

Ὁ Ἱερεύς·

**Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

**Ἀ**μήν.

* * *

## Κάθισμα.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

**Ν**αμάτων πηγή, ζωήρρυτος τοῖς τέκνοις Σου, Λειψάνων σεπτῶν, ἡ Θήκη Σου Πατὴρ ἡμῶν, ἱερὲ Χρυσόστομε, ἐν ἐσχάτοις γέγονεν ἔτεσι· καὶ γὰρ Μαρτύρων εὔκλειαν ποθῶν, ἠρνήθης τῆς Δύσεως σκοτόμαιναν.

* * *

Καὶ συνεχίζει ὁ Λαὸς τὰς Ὠδὰς δ΄, ε΄ καὶ ϛ΄ τοῦ Κανόνος.

**Ὠδὴ δ΄.**

Εἰσακήκοα Κύριε.

**Ἅ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ν**όσον πᾶσαν τῆς Δύσεως, τοῖς τῶν Θεσπισμάτων Πατέρων Ὅσιε, θεοπνεύστοις λόγοις ἤλασας, ἐν ὑγείᾳ δὲ ἡμᾶς ἐφύλαξας.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Ὀ**ρθοδόξων τὸ σύστημα, νῦν εὐγνωμονεῖ Σε θεῖε Χρυσόστομε, ὡς λαμπρὸν δὲ θεοκήρυκα, ἐν παντὶ τιμᾷ Σε θεοδόξαστε.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

**Ὑ**περήσπισας Δόγματα, καὶ τῆς Ἐκκλησίας Ἑορτολόγιον, ὁδηγίᾳ Θεομήτορος, διὸ πάντες εὐφημοῦμέν Σε Χρυσόστομε.

**Ὠδὴ ε΄.**

Φώτισον ἡμᾶς.

**Ἅ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Δ**όξης θεϊκῆς, ὦ Χρυσόστομε Πατὴρ ἡμῶν, κατηξιώθης ὡς υἱὸς φωτός, ὀρθοτομήσας ἐν Βίῳ τε καὶ Δόγμασιν.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Ἔ**κκριτος Πατήρ, ἀνεδείχθης Θείᾳ Χάριτι, καὶ τῶν Λειψάνων Σου Θήκη λαμπρά, τῶν ἰαμάτων πηγὴ ἀέναος Χρυσόστομε.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

**Ἥ**δυσμα πιστῶν, καὶ Ἀγγέλων ὦ Χρυσόστομε, σὺν Θεοτόκῳ πάντας τοὺς εὐσεβεῖς, Σὺ προστατεύοις κατ᾿ ἄμφω θείαις πρεσβείαις Σου.

**Ὠδὴ ϛ΄.**

Τὴν δέησιν.

**Ἅ**γιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Σ**εμνύνονται, οἱ πιστοὶ τοῖς κόποις Σου, καὶ φαιδρῶς ἀνευφημοῦσί Σε Πάτερ, ὅτι ἐσχάτως ἐδείχθης ἀμύντωρ, τῶν Πατρικῶν Θεσπισμάτων θαυμάσιος· καὶ νῦν λιταῖς Σου ταῖς σεπταῖς, διασώζοις ἡμᾶς ἐκ τῶν θλίψεων.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Ἰ**θύνοις νῦν, Ὀρθοδόξων σύστημα, ἐν ὀρθότητι Δογμάτων καὶ τρέποις, τῶν Καινοτόμων ὁρμὴν ἀσεβούντων, καὶ κηρυττόντων ἀλλότρια δόγματα· οὓς φώτισον ταῖς Σαῖς λιταῖς, ἐπιστρέφειν εἰς θείαν Ἀλήθειαν.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

**Σ**εμνότητι, καὶ ἀνδρείᾳ ἔλαμψας, βοηθείᾳ τῆς Θεόπαιδος Κόρης, καὶ νῦν Κανὼν Σὺ ὑπάρχεις ἐν Πίστει, καὶ ἀπλανὴς

Ὁδηγὸς τῶν τιμώντων Σε· δεήθητι οὖν σὺν Αὐτῇ, ἐν ὀρθότητι βίου βαδίζειν με.

* * *

Ἀπάλλαξον τῶν λυπηρῶν τὰ Σὰ τέκνα ὦ Ἱεράρχα, καὶ χαρᾶς τὰς καρδίας ἄνωθεν πλήρωσον, ὡς ἔχων πρὸς Κύριον παῤῥησίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ Διάκονος·

Μνημονεύει, ὡς δεδήλωται ἀπὸ Ὠδῆς γ΄, μετὰ δὲ τὴν ἐκφώνησιν τοῦ Ἱερέως·

Ὁ Λαός·

**Κοντάκιον.**

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Ὀρθοδόξων καὶ τῆς Ἐκκλησίας τὸν πρόμαχον, Καινοτόμων δὲ τὸν καθαιρέτην τιμήσωμεν· νῦν οἱ πάντες τοῦ Χρυσοστόμου ἆθλα τὰ σεπτά, ἑνὶ στόματι ὡς ἀληθῶς, καὶ στεντορείᾳ τῇ φωνῇ, προσκυνοῦντες βοήσωμεν· λῦσον τὰς περιστάσεις, καὶ τέχνας τὰς τῶν δαιμόνων, καὶ καθοδήγησον ἡμᾶς, εἰς τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν.

* * *

Ὁ Λαός·

Ψάλλει τὸ πρῶτον ἐκ τῶν τριῶν Ἀντιφώνων τῶν Ἀναβαθμῶν τοῦ Ἤχου δ΄.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ Αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δὶς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δὶς)

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς Χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον·

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ. (δὶς)

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ὁ Διάκονος·

**Κ**αὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Λαός·

**Κ**ύριε, ἐλέησον. (γ΄)

Ὁ Διάκονος·

**Σ**οφία! Ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου!

Εὐλογῶν τὸν Λαόν, λέγει ἠρέμα·

Ὁ Ἱερεύς·

**Ε**ἰρήνη πᾶσι!

Ὁ Λαός·

**Κ**αὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐ**Ε**κ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου, τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

**Π**ρόσχωμεν!

Ὁ Λαός·

**Δ**όξα Σοι, Κύριε, δόξα Σοι!

Ἀπαγγέλει ἐμμελῶς, εὐκρινῶς καὶ σεμνοπρεπῶς·

Ὁ Ἱερεύς·

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ, ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι, οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγάς, καὶ τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε, πῶς ἢ τὶ ἀπολογήσεσθε, ἢ τὶ εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Ὁ Λαός·

**Δ**όξα Σοι, Κύριε, δόξα Σοι!

Ὁ Λαός·

Ἦχος β΄.

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ἴδωμεν τοῦ μάκαρος, τὴν θεοδόξαστον Θήκην, τῶν Λειψάνων βλύζουσαν, θαυμαστὰ δὲ ἅπαντα τὰ τελούμενα· εὐσεβῶν σύλλογος, προστρεχόντων πόθῳ, λαμβανόντων δὲ αἰτήματα, τιμᾷ τὸν Ἅγιον, τὸν Πατερικῶς ὄντως ζήσαντα, Χρυσόστομον τὸν κτείναντα, τῶν Συγκρητιστῶν τὴν παναίρεσιν· τῇ Ὀρθοδοξίᾳ, συζεύξας τὸ τῆς Πράξεως ὀρθόν, νῦν δὲ Σωτῆρος δεόμενος, τοῦ σώζεσθαι ἅπαντας.

Ὁ Διάκονος·

Εὐθὺς ἐκφωνεῖ, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, τὴν λιτανευτικὴν ἱκεσίαν·

Σῶσον ὁ Θεὸς τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια· • πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας· • δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ· • προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· • ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· • τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· • τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας, καὶ Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν· • τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἁγίων Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· • τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· • τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ)· • τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· • τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν· • καὶ πάντων Σου τῶν Ἁγίων· • ἱκετεύομέν Σε, μόνε Πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου, καὶ ἐλέησον ἡμᾶς.

Εἶτα, μετὰ τὴν μολπὴν ἀμοιβηδὸν ὑπὸ τοῦ Λαοῦ τοῦ· Κύριε ἐλέησον, δωδεκάκις, ἀνὰ τρὶς τετράκις.

Ἐκφωνεῖ ἐμμελῶς·

Ὁ Ἱερεύς·

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

Ἀμήν.

* * *

Ὁ Λαὸς ἀποπληροῖ τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

### Ὠδὴ ζʹ.

Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὰ ἆθλά Σου ὑμνοῦμεν, καὶ Λειψάνων τὴν Θήκην τιμῶμεν ᾄσμασι· τῷ φέγγει πρεσβειῶν Σου, λαμπρύνεις Ἐκκλησίαν, καὶ πιστοὶ διασῴζονται· καὶ Καινοτόμων ἀχλύς, ἐλαύνεται ταχέως.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡραΐσας τὴν Νύμφην, τοῦ Σωτῆρος τὴν Ἄμωμον τῇ ἐνστάσει Σου· τῆς Δύσεως γὰρ πλάνην, φλογὶ τῶν Σῶν λογίων, καταφλέξας ἠφάνισας· καὶ νῦν χορείας πιστῶν, φωτί Σου καθοδήγει.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Χρυσόστομε παμμάκαρ, καταφύγιον ὤφθης τὸ ἀπροσμάχητον, ζηλούντων τῶν Δογμάτων, ἀκρίβειαν ἐν πᾶσι, καὶ Πατέρων Παράδοσιν· ὡς τοῦ ἀΰλου πυρός, λυχνία τῆς Τριάδος.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ῥοαῖς τῶν Σῶν Δογμάτων, Ὀρθοδόξων εὐθύνεις νῦν τὰ συστήματα, φωτὶ τῆς Πανυμνήτου, Σταυροῦ δὲ τῇ δυνάμει, καὶ Λειψάνων Σου χάριτι· ὦ Ἱεράρχα Χριστοῦ, Χρυσόστομε θεόφρον.

### Ὠδὴ ηʹ.

Τὸν Βασιλέα.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑμνολογοῦμεν, τοὺς Σοὺς ἀγῶνας τρισμάκαρ, καὶ φωνήν Σου θεόπνουν τιμῶμεν, ὅτι χρυσοστόμως, γενναίως ἠγωνίσθης.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κακοδοξούντων, τοὺς διωγμοὺς ὑπομείνας, νῦν Φωτὶ τῶν Μαρτύρων ἀγάλλει, ὡς δεδοξασμένος, Χρυσόστομε χριστόφρον.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὀρθοτομούντων, παραμυθία ὑπάρχεις, Καινοτόμων δὲ ἔλεγχος πάντων, Γνήσιος Ποιμήν τε, ἡμῶν τῶν Σὲ ὑμνούντων.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Σεπτὸν Ποιμένα, ἡ Θεοτόκος ἐνδύει, ἐν ἀφθάρτῳ τῇ δόξῃ Ἀγγέλων, Σὺ δὲ Ἱεράρχα Παρθένον μεγαλύνεις.

**Ὠδὴ θ'.**

Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τηρήσας Ἱεράρχα, τὴν Πίστιν Γνησίαν, Καινοτομίας τὴν πλάνην ἀπέκρουσας, καὶ Δυτικῶν τὰς αἱρέσεις, Σὺ ἐξηφάνισας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἱ πάντες Σε τιμῶμεν· ἀκαινοτομήτως, τὰς Παραδόσεις γὰρ πάσας ἐφύλαξας· Σοῦ Ἱεράρχα τοὺς κόπους, ἐγκωμιάζοντες.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Μεγάλα Σου τὰ ἆθλα, τῆς Ὁμολογίας, φωταγωγοῦντα ἀπαύστως τὸ Πλήρωμα, τῆς Ἐκκλησίας ἐν δόξῃ, θεῖε Χρυσόστομε.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ὡς ἥνωσας Παρθένε, κτίσιν τῷ Ἀκτίστῳ, νῦν Ὀρθοδόξων ἑνώσαις συστήματα, ταῖς Χρυσοστόμου πρεσβείαις, Μῆτερ Πανύμνητε.

* * *

Τοῦ Διακόνου θυμιῶντος τὸ Ἱερὸν Βῆμα καὶ ἅπαντα τὸν Ναόν, ὁ Λαὸς ψάλλει τὰ παρόντα

**Μεγαλυνάρια.**

Τῆς Θεοτόκου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Τοῦ Ἁγίου, τέσσαρα.

Ἅπαντα τὰ πλήθη τῶν εὐσεβῶν, σπεύσωμεν ἐν πόθῳ, καὶ προσπίπτοντες εὐλαβῶς, Ποιμένι Ἁγίῳ, τῷ νέῳ Χρυσοστόμῳ, αἰτήσωμεν εἰρήνην, τοῦ Θείου Πνεύματος.

Νάμασι τῶν λόγων Σου ἱερῶν, ἤρδευσας τὴν ποίμνην, τῶν Γνησίων Χριστιανῶν, καὶ τῶν Καινοτόμων, κατέβαλες τὸ θράσος, Χρυσόστομε τρισμάκαρ, ἡμῶν τὸ καύχημα.

Δόγματα τῆς Πίστεως ἀκλινῶς, δὸς ἡμῖν τηρῆσαι, καὶ Πατέρων τὰς Διδαχάς, καὶ Καλανδαρίου, τοῦ Νέου ἀποῤῥίπτειν, ἐκ Δύσεως τὴν πλάνην, θεῖε Χρυσόστομε.

Ὅλως ἠγωνίσω θεοπρεπῶς, Πρᾶξιν Θεωρίᾳ, συζευξάμενος ὡς σοφός, διό Σου Λειψάνων, ἡ Θήκη ἡ Ἁγία, Χρυσόστομε θεόφρον, βρύει ἰάματα.

Τῶν Ἁγίων Πάντων.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

* * *

Ὁ Ἀναγνώστης·

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

**Π**αναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

**Κ**ύριε, ἐλέησον. (γ΄)

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

**Π**άτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ Ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν Οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἐκφωνεῖ ἐμμελῶς·

Ὁ Ἱερεύς·

**Ὅ**τι Σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Λαός·

**Ἀ**μήν!

* * *

Ὁ Λαὸς ψάλλει τὸ Ἀπολυτίκιον·

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἑδραίῳ φρονήματι, καὶ θεολόγῳ φωνῇ, κατέβαλες φρύαγμα τῶν Καινοτόμων Σοφέ, καὶ ἤθλησας ἄριστα· κλέος Ἀρχιερέων, ὢ Χρυσόστομε ὤφθης, Πίστιν τῶν Ὀρθοδόξων, στερεώσας ἐσχάτως, ἀμέμπτῳ Ὁμολογίᾳ, βίῳ θεόφρονι.

Ὁ Διάκονος·

Τὴν Ἐκτενῆ Δέησιν, τοῦ Λαοῦ ψάλλοντος τὸ λιτανευτικόν· Κύριε ἐλέησον (τρίς), μεθ᾽ ἑκάστην δέησιν, ἐξαιρέσει τῆς πέμπτης δεήσεως, μεθ᾽ ἣν ψάλλει τοῦτο τεσσαρακοντάκις, ἤτοι τετράκις ἀνὰ δέκα ἐναλλάξ·

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

**Ἔ**τι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τάδε- τοῦ ἐπιχωρίου Ἀρχιερέως), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

**Ἔ**τι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ (μνημονεύονται τὰ ὀνόματα, τῶν ὑπὲρ ὧν ἡ Ἱερὰ Παράκλησις τελεῖται), καὶ πάντων τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν, τῶν συμπαρόντων καὶ συνευχομένων ἡμῖν, μετὰ τῶν οἰκείων καὶ συγγενῶν αὐτῶν.

**Ἔ**τι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν (ἢ Μονὴν) καὶ τὴν πόλιν (ἢ νῆσον) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾽ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

**Ἔ**τι δεόμεθα, καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Ἱερεύς·

**Ἐ**πάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς·

**Ἐ**λεήμων γὰρ καὶ Φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός·

**Ἀ**μήν.

* * *

Ὁ Ἱερεύς, στραφεὶς πρὸς δυσμὰς καὶ βλέπων πρὸς τὸν Λαόν, δοξάζει τὸν Θεόν, λέγων·

Ὁ Ἱερεύς·

**Δ**όξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι!

Ὁ Ἀναγνώστης·

**Δ**όξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Κ**αὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. **Ἀ**μήν.

**Κ**ύριε, ἐλέησον. (γ΄)

**Π**άτερ ἅγιε, εὐλόγησον.

Χῦμα, ταπεινῇ καὶ πραείᾳ τῇ φωνῇ, εἰς ἐπήκοον τοῦ Λαοῦ·

Ὁ Ἱερεύς·

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν· ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας Αὐτοῦ Μητρός· δυνάμει τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν· τοῦ ἁγίου (τάδε-τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε-τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

* * *

Πρὸ δὲ τοῦ ἐπισφραγιστικοῦ τῆς ὅλης Παρακλήσεως· Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, ἀσπαζομένων τῶν πιστῶν ἐν κατανύξει καὶ εὐλαβείᾳ βαθείᾳ τὴν ἱερὰν τοῦ Ἁγίου Εἰκόνα καὶ χριομένων ὑπὸ τοῦ Ἱερέως δι᾽ ἁγίου ἐλαίου ἐκ τῆς κανδήλας αὐτοῦ, ψάλλονται ἀργῶς τὰ ἑξῆς·

Ὁ Λαός·

**Ἐξαποστειλάρια.**

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Συγκρητιστῶν τὰς πλάνας, καὶ Καινοτόμων τὸ θρασύ, καταβαλὼν θεοπνεύστως, Ποίμνην ἐστήριξας Χριστοῦ, καὶ νῦν Χρυσόστομε μάκαρ, ἕνωσον πάντας Γνησίους.

Μεγαλοφρόνως Πάτερ, τοὺς Ὀρθοδόξους ὁδηγεῖς, ἐν τῇ ὁδῷ τῶν Πατέρων, καὶ τῶν Συνόδων ἀκλινῶς, καὶ νῦν ἡμεῖς προσκυνοῦμεν, τῶν Σῶν Λειψάνων τὴν Θήκην.

Ὁμολογίας φέγγει, καὶ λαμπροτάτῳ τῷ ἤθει, Καινοτομίας τὴν πλάνην, Καλανδαρίου τοῦ Νέου, ἦρας Χριστοῦ τῇ δυνάμει, ὦ μιμητὰ τῶν Πατέρων.

Ἱεραρχήσας ἐνθέως, τοῦ Παρακλήτου δυνάμει, καὶ ὑπομείνας γενναίως, τὸ ἰταμὸν Καινοτόμων, Ὁμολογίας ἐδέχθης, παρὰ Κυρίου τὸ στέφος.

* * *

Ἐκφωνεῖ ἐμμελῶς·

Ὁ Ἱερεύς·

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.

Ὁ Λαός·

**Ἀ**μήν!



**Ὁ** Ἅγιος Χρυσόστομος
ὁ Νέος Ὁμολογητὴς Ἱεράρχης
1870-1955



**Ἡ** ἀργυρᾶ Λειψανοθήκη,
ἡ περιέχουσα τὰ χαριτόβρυτα
ἱερὰ Λείψανα
τοῦ Ὁμολογητοῦ Ἱεράρχου,
εὑρισκομένη εἰς τὴν
Ἱερὰν Μονὴν
Κοιμήσεως τῆς Θεοτόκου,
Θρακομακεδόνες Πάρνηθος Ἀττικῆς.

**Δέησις**
Ἱερᾶς Μονῆς
Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης,
Φυλῆς Ἀττικῆς.
(1973)



# Ἐπίμετρον

## Εὐαγγέλιον Ὄρθρου

Ἰωάννου ι´ 9-16. Βλ. Εὐαγγελιστάριον, Ἰανουαρίου Λ´, Τριῶν Ἱεραρχῶν, εἰς τὸν Ὄρθρον.

**[Ε**ἶπεν ὁ Κύριος·] **Ἐ**γώ εἰμι ἡ θύρα· δι᾿ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

**Ὁ** κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν.

**Ἐ**γώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·

**Ὁ** μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα.

**Ὁ** δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων.

**Ἐ**γώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν·

**Κ**αθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.

**Κ**αὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

## Ἀπόστολος

Πρὸς Ἑβραίους ιγ´ 7-16. Βλ. Ἀποστολάριον, Ἰανουαρίου ΙΗ´, Ἁγίων Ἀθανασίου καὶ Κυρίλλου.

**Α.** Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος δ´. Δανιὴλ γ´ 2-3 (Ὕμνος Τριῶν Παίδων).

**Δ.** Πρόσχωμεν!

**Λ.** Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. (δὶς)

**Α.** Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

**Λ.** Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
**Δ.** Σοφία!
**Α.** Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Δ.** Πρόσχωμεν!

[Ἀδελφοί·] Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν.

Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ Αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Ἔχομεν Θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ Σκηνῇ λατρεύοντες.

Ὧν γὰρ εἰσφέρεται ζῴων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου Αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε.

Τοίνυν ἐξερχώμεθα πρὸς Αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν Αὐτοῦ φέροντες.

Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

Δι᾽ Αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι Αὐτοῦ.

Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

**Α.** Ἀλληλούϊα. Ἦχος δ΄. Ψαλμὸς μγ΄, Ψαλμὸς λγ΄.
**Δ.** Πρόσχωμεν!
**Λ.** Ἀλληλούϊα (γ΄).
**Α.** Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.
**Λ.** Ἀλληλούϊα (γ΄).
**Α.** Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν.
**Λ.** Ἀλληλούϊα (γ΄).
**Δ.** Σοφία· ὀρθοὶ ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου.
**Ι.** Εἰρήνη πᾶσι!

**Λ.** Καὶ τῷ πνεύματί Σου.
**Ι.** Ἐκ τοῦ κατὰ Ματθαῖον Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.
**Δ.** Πρόσχωμεν!
**Λ.** Δόξα Σοι, Κύριε, δόξα Σοι!

## Εὐαγγέλιον Θείας Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον ε´ 14-19. Βλ. Εὐαγγελιστάριον, Ἰανουαρίου Λ´, Ἁγίων Τριῶν Ἱεραρχῶν, τὸ τῆς Θείας Λειτουργίας.

[Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς·] Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη.

Οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾿ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ.

Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς Οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου ἕως ἂν πάντα γένηται.

Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν Ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν. Ὃς δ᾿ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

## Εὐχαριστίες

Ἰδιαίτερες εὐχαριστίες ἐκφράζουμε πρὸς ὅλους ἐκείνους,
ἐπαΐοντας Ἀρχιερεῖς καὶ Φιλολόγους,
οἱ ὁποῖοι ἐμελέτησαν κριτικὰ τὴν παροῦσα ἐργασία
καὶ κατέθεσαν προτάσεις βελτιώσεως.

•

Εὐχαριστοῦμε μάλιστα τὸν ἀγαπητὸν ἐν Χριστῷ
Μουσικολόγον-Τυπικολόγον κ. Ἰωάννην Ρούμελην,
ὁ ὁποῖος μὲ ἐμβρίθεια
μᾶς ὑπέδειξε θέματα Τυπικῆς Τάξεως,
προέτεινε βελτιώσεις, ἰδίως στὸ Κοντάκιον,
τέλος δὲ ἐθεώρησε ὡς προτιμητέον τὸ Προεόρτιον Κάθισμα
μετὰ τὸν Πολυέλεον: «Ἀνανεώθητι Ἀδάμ, ἀγάλλου Εὔα»
(ἐκ τοῦ Μηναίου Σεπτεμβρίου, τῇ ΙΑ΄ τοῦ μηνός,
ἐκδοθέντος ἐν Κωνσταντινουπόλει,
ἐκ τῆς Τυπογραφίας Ἀνδρέου Κορομηλᾶ, ἐν ἔτει 1843).




Ἡ ἱερὰ Λειψανοθήκη
τοῦ Ὁμολογητοῦ Ἱεράρχου.
(Λεπτομέρεια)

†

**Ἐπιμελείᾳ καὶ Ἀναλώμασιν**
**Ἱερᾶς Μητροπόλεως Ὠρωποῦ καὶ Φυλῆς,**
**τῇ εὐγενεῖ ἀναθέσει**
**τῆς Ἱερᾶς ἡμῶν Συνόδου.**

•

**Ἔκδοσις α΄ 2016.**
**Ἔκδοσις β΄ (ἐπηυξημένη) 2017.**
**Διανέμεται δωρεάν.**

